Ῥοδεινός, ἡ, όν Κλονούμενος, διάσειστος, εὐμήκης ἰσχνὸς καὶ εὐκόλως σαλευόμενος, κινούμενος ὑπὸ ἀνέμων, εὐκίνητος, Ἰλ. Σ, 576. «Περὶ ῥοδανὸν δονακῆα· ὅπου ἄλλοι, ῥάδαλοι, ῥαδανὸν καὶ ῥαδινὸν ἀνέγνωσαν, καὶ διὰ τοῦ, Διασειστὸν, ὑπὸ ἀνέμων κλονούμενον, διασκόμενον, ἠρμήνευσαν· ὁ Ἡσύχ. ἔχει· «Ῥοδανὸν, τρυφερὸν, (ἢ ἐτυμολογ. ἐκ τοῦ κραδάω, κραδαίνω, φαίνεται ὀρθότερα, ἴδε, καὶ ῥαδινός. Κατὰ τὸν Damm ἐκ τοῦ ῥοὴ αὐτὶ ῥοανός, ἤτοι ἀῤῥόνως ῥέων.)

* Ῥοδανός, ἡ, όν, = ῥόδινος, ἀμφ.

* Ῥόδαξ, ακος, ἡ, Ὑποκορ. τοῦ ῥόδον. Μικρὸν τριανταφύλλιον.

Ῥοδερός, ά, όν· ἀνθηρὸς, ἀκμαῖος, ῥοδοκόκκινος. «Τοῦ σώματος τὸ ῥοδερόν. Ἰωσηπ. ἀρχ. ιζ'. ια'. ὅπου τὰ Χειρόγραφα ὀρθότερον «Ῥαδαλόν, ῥαδερὸν, καὶ ῥαδινὸν ἔχουσιν.

Ῥοδέα, ἡ· κατὰ συναλφ. ταὐτὸν τῷ, ῥοδὴ (ῥόδον). Τριανταφυλλιά.

Ῥοδέεστι, Ἀπολλων. ἀργ. γ'. 1020. αὐτὶ τοῦ, ῥόδοις.

* Ῥοδεία, ἡ, Θηλ. κύρ. ὄν. Ὅμ. Ὀδ. Δημ. 419. καὶ Ἡσ. Θεογ. 351.

Ῥοδεία, ἡ (ῥόδον). Στέφανος ἐκ ῥόδων, λίαν ἅμφ.

Ῥόδειος, καὶ, ῥόδεος, ία, εον (ῥόδον). Ἐκ ῥόδων κατασκευασμένος, ὁμοιος ῥόδῳ, ἐρυθρὸς, εὔχρους, εὐειδὴς, εὐώδης, ὁ ὀσμὴν ῥόδου ἔχων, ἢ ὡς ῥόδον μυρίζων, εὐωδιάζων. «Τέθεια ἀνθη· παρ' Ἀθην. περιφραστικῶς αὐτὶ τοῦ, Ῥόδα. «Ῥόδειον λίπος· τὸ ῥοδινον ἔλαιον, τριανταφυλλέλαιον. Νικάνδρ.

Ῥοδεών, ῶνος, ὁ· ταὐτὸν τῷ, ῥοδών. Τόπος περιεκτικὸς ῥοδωνιῶν, κῆπος ἐκ ῥοδωνιῶν, τόπος γεμάτος ἀπὸ Τριανταφυλλιάς. Γλωσσ. Στεφ.

Ῥοδῆ, ἡ, κατὰ συναλφ. ἐκ τοῦ ῥοδέη. Αὐτὸ τὸ δένδρον ἤτοι ὁ θάμνος ὁ τὰ ῥόδα ἀνθίζων, Τριανταφυλλιά.

* Ῥοδία, ἡ, Θηλ. κύρ. ὄν. Ἡσ. Θεογ. 351. ἄλλως δὲ καὶ ῥοδεία γραφόμενον. (∪ – –)

Ῥοδιάς, άδος, ἡ. Εἶδος ποτηρίου, ἐκ τοῦ τόπου παρωνομασθέντος, ὡς κατασκευαζόμενον ἐν τῇ Ῥόδῳ, Ἀθην. ια'. 13. ὁ Φώτ. ἔχει «Ῥοδιακὸν καὶ ῥοδιάς, εἶδος ἐκπώματος· οὕτω Δίφιλος. ἔνιοι γράφουσι καὶ ῥωσιάς.

Ῥοδίζω, μέλ. ίσω (ῥόδον). Ὁμοιος εἰμὶ τῷ ῥόδῳ κατὰ τὸ χρῶμα ἢ κατὰ τὴν ὀσμήν. «Ῥοδίζει τῇ ὀσμῇ. Διοσκορ. α'. 12. ὁμοιάζει τὴν ὀσμὴν τοῦ ῥόδου, μυρίζει ὡς τὸ τριανταφύλλον. 2) μετβ. Βάπτω κοκκινον ὡς ῥόδον. Ἀλέξανδρ. Ἀφροδ. «Αἷμα ῥοδίζει τὸ δέρμα καὶ ἐρυθραίνειαι.

Ῥόδινος, ίνη, ινον (ῥόδον). Ὁ ἐκ ῥόδων κατασκευασμένος, τριανταφυλλένιος· οἷον «Ῥόδινον ἔλαιον». Διοσκορ. α'. 54. τὸ τριανταφυλλολαδον. «Ῥόδινον μύρον, ῥόδινος στέφανος, κ. τ. τ.

Ῥόδιος, ία, ιον· ταὐτὸν τῷ, ῥόδεος, καὶ ῥόδινος παρὰ Διοσκορ. δ'. 46. «Ῥοδία ῥίζα» Rhodiola, Λινναῖος· εἶδος χόρτου ἐν Μακεδονίᾳ φυόμενον, κληθὲν οὕτω διὰ τὸ ὑπὸ ῥόδου ἐ-

χειν· ὁ Ἡσύχ. ἑρμην. τὸ ῥοδία, εἶδος ἀμπέλου. ἴδε ῥοδωνιά.

*Ῥόδιος, ία, ιον (Ῥόδος). Ὁ ἐκ τῆς Ῥόδου, ὁ ἀπὸ τὴν νῆσον Ῥόδον ὤν, Ἰλ. Β, 654. 2) Ῥοδία τέχνη, αὐτὶ τῆ ζωγραφική, Mehlhorn Ἀνακρ. 15, 3.

*Ῥόδιος, ὁ (ῥόος). Ἀρσ. κύρ. Ὄν. ποταμοῦ, Ἰλ. Μ, 20. Ἡτ. Θεογ. 341.

Ῥοδίς, ίδος, ἡ. Διοσκορ. α΄. 131. κόνις τις (σκόνη) ἐκ ῥόδων ἣν ἡς παπαλίζουσι καὶ ῥίνουσί τι· ἢ εἶδος Ποιμάδος, ἀλείμματος, (μύρου) ἐκ ῥόδων κατεσκευασμένου.

Ῥοδίτης, ου, ὁ. Προτυπαιουσμ. «Οἶνος», οἶνος διὰ ῥόδων κατεσκευασμένος, καθὼς π. χ. ὁ Ἀμυθίτης, διὰ τοῦ ἀφυθίου. Διοσκ. α΄. 25.

Ῥοδοδάκτυλος, ὁ, ἡ, ον (δάκτυλος). Ὁ ἐρυθρὰ (κόκκινα) ὡς ῥόδον τὰ δάκτυλα ἔχων, παρ' Ὁμήρῳ καὶ Ἡσ. ἀεὶ ὡς ἐπίθετον τῆς Ἠοῦς ἤτοι τοῦ πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου φαινομένου κατὰ τὸν ὁρίζοντα κοκκίνου καὶ χρυσοῦ χρώματος. Ἰλ. Δ, 477. «Ἦμος δ' ἠριγένεια φάνη, ῥοδοδάκτυλος Ἠώς» ἔνθα ὁ Σχολ. ἑρμηνεύει διὰ τοῦ, «Ῥοδόχρους, διαυγής, πυρρώδης γὰρ ὁ ἀὴρ ἅρτου γίγνεται ἐν τῇ ἀνατολῇ, ἀπὸ δὲ τοῦ σχήματος τῶν τῆς χειρὸς δακτύλων, παρίστησι τὸ τῶν ἀκτίνων σχῆμα· ἄλλως δὲ, ἀναφέρεται κατὰ τὰ ἤθη τὰ τότε καὶ νῦν ἐν τῇ Ἑλλάδι, ἐπὶ τῶν βαφομένων ἐρυθρῶν ὀνύχων τῶν δακτύλων.

Ῥοδοδάφνη, ἡ (δάφνη), καὶ ἄλλως «Νήριον» λεγομένη. Εἶδος δάφνης ἀγρίας, ἐρυθρὰ ἄνθη ἐχούσης, πικροδάφνη. Nerium oleander. Λουκ.

Ῥοδόδενδρον, τό, (δένδρον) ταὐτὸν τῷ Ῥοδοδάφνη.

Ῥοδοειδής, ές, ὁ, ἡ, ές (εἶδος). Ὁ ῥόδου εἶδος ἔχων, ὅμοιος ῥόδῳ κατὰ τὸ χρῶμα ἢ κατὰ τὴν ὀσμήν.

Ῥοδόεις, όεσσα, όεν (ῥόδον). Ὁ ἐκ ῥόδων κατεσκευασμένος, ἢ ἐκ τοῦ εἴδους ἐκ τῆς οὐσίας τῶν ῥόδων, ἐν Ἰλ. Ψ, 186. «—Ῥοδόεντι δὲ χρίεν ἐλαίῳ, τῷ ῥοδίνῳ, ἔνθα τὸ «Ῥοδόεν ἔλαιον ταὐτόν ἐστι τῷ τοῦ Νικάνδρου «Ῥόδεον λίπος». τὸ Τριανταφυλλόλαιον.

*Ῥοδόκιστος, ὁ (κιστός). Κιστὸς ἐκ ῥόδων, παρὰ Θεοφρ. 5, 131. ὅπου ὅμως ἡ γραφὴ ἀμφιβλλτ. καὶ πιθαν. ὡς ῥόδα κίστος, μᾶλλον γραπτέον.

Ῥοδοκολπος, ὁ, ἡ, ον (κόλπος). Ῥοδοειδῆ κόλπον ἢ στῆθος ἔχων, ἤτοι, Καλὸν, εὐειδῆ, εὔχρουν. Στοβ. Φυσ. Σελ. 174.

Ῥοδοκρινοπρόσωπος, ὁ, ἡ, ον (κρίνον, πρόσωπον). Ὁ πρόσωπον λευκὸν ὡς τὸ κρίνον καὶ ἐρυθρὸν κατὰ τὰς παρειὰς ὡς τὸ ῥόδον ἔχων, εὔχρους Ἐπιγράμ.

Ῥοδόμαλον, τό (μᾶλον, ἀντὶ, μῆλον). Τὸ κόκκινον ἐρυθρὸν μῆλον, ὅθεν ἡ ἐρυθρὰ παρειὰ, τὸ κόκκινον μάγουλον. Θεόκριτ. κγ΄. 8. ἔστι δὲ Δωρ. ἀντὶ ῥοδόμηλον.

Ῥοδόμελι, ιτος, τό (μέλι). Μέλι ἐκ ῥόδων ἢ διὰ ῥόδων κατεσκευασμένον. Αἴτιος γ΄. 74. καὶ Διοσκορ. α΄. 26.

Ῥοδόμηλον, τό (μῆλον). Σύνθεμα τι ἐκ κυδωνίων ἢ μήλων καὶ ῥόδων μετὰ ταυχάρου, ὃ ἐστὶν εἶδος γλυκίσματος ἐκ ῥόδων καὶ κυδωνίων κατεσκευασμένου, ἢ βρασμένου.

Ῥοδομιγής, ές, ὁ, ἡ (μίγνυμι). Ὁ μετὰ ῥόδων μεμιγμένος. Ἑλλήν. Ἀλεξ.

Ῥόδον, τό. Ἄνθος εὐῶδες, συνήθως ἐρυθρόν, ὀλίγον δὲ χλωμὸν χρῶμα ἔχον, ψυόμενον ἀπό τινος ἀκανθώδους θάμνου, Τριανταφύλλον, ἐν τῇ συνηθείᾳ, διὰ τὸ ἐκ τριάκοντα φύλλων συνιστάμενον, ὁ δὲ Ἡρόδοτος (8. 138.) λέγει ὅτι ἐν Μακεδονίᾳ καὶ ἑξήκοντα φύλλα εὑρίσκεται ἔχον. «Ἐν τοῖσι (κήποισι) φύεται αὐτόματα ῥόδα, ἓν ἕκαστον ἔχον ἑξήκοντα φύλλα, ὀδμήν τε ὑπερφέροντα τῶν ἄλλων· ταῦτα ἡ συνήθεια «Διπλᾶ» καλεῖ· εὑρηται δὲ πρῶτον ἡ λέξις παρ' αὐτῷ τῷ Ὁμ. Τμ. Δημ. 6. ὥσαυτ. καὶ Θεογν. 537. σημαίνει ἔτι καὶ τὸν κῆπον τῶν ῥόδων, κῆπον ἐκ μόνων τριανταφυλλιῶν, παρὰ Κολουθ. 341. 2) Τὰ γυναικεῖα αἰδοῖα, Ἀθην. σλ. 269. «Ἠβυλίκται καὶ τὰ ῥόδα κεκαρμένα. ὠνόμαστται δὲ ῥόδον (κατὰ Πλουτ. συμπ. γ΄. α΄. ὅτι ῥεῦμα πολὺ τῆς ὀσμῆς ἀφίησι, διὸ καὶ τάχιστα μαρκίνεται· κατ' ἄλλους δὲ ἐκ τοῦ ἐρυθρός, ὁ δὲ Donn ἐτυμολογ. αὐτὸ ἐκ τοῦ ὄζω, κατὰ προσθήκ. τοῦ ρ πρὸς ἐπίτασιν τῆς ἐξ αὐτοῦ ἀναδιδομένης ὀσμῆς.)

*Ῥοδόπεπλος, ὁ, ἡ, ον (πέπλος). Ὁ ἔχων ἢ φορῶν πέπλον, ἐπανωφόριον ἐκ τοῦ χρώματος τῶν ῥόδων.

*Ῥοδόπη, ἡ, Θηλυκ. κύρ. Ὄν. ὄμ. Ὁμ. Δημ. 422. καὶ ὄρος τι τῆς Θρᾴκης.

Ῥοδόπηχυς, εος, ὁ, ἡ, υ (πῆχυς). Ὁ ῥοδίνους ἤτοι καλοὺς καὶ εὐειδεῖς πήχεις, βραχίονας ἔχων. Ὁμηρ. Ὑμν. 30, 6. Ἡτ. Θεογ. 247, 251.

Ῥοδόπνεος, καὶ συναιρ. νους, ὁ, ἡ, ουν (πνέω). Ὁ ῥόδου πνοὴν, ὀσμὴν εὐωδίαν ἐκπέμπων, ὁ ῥόδου ὀσμὴν ἔχων.

*Ῥοδόπυγος, ὁ, ἡ (πυγή). Ὁ ἔχων τὴν πυγὴν, ἢ τὸν καλὸν κοκκινον ὡς τὸ ῥόδον. ποιητ.

Ῥοδοπώλυς ου, ὁ (πωλέω). Ὁ ῥόδα πωλῶν. Γλῶτ. Στεφ.

*Ῥόδος, ἡ, Θηλ. κύρ. Ὄν. νήσου. Ἰλ.

Ῥοδόσταγμα, τό (στάζω). Σταλαγμα ἐκ ῥόδων, τὸ ἐκ τῶν ῥόδων διὰ τοῦ πυρὸς ἐκβαλλόμενον καὶ σταλαζόμενον εὐῶδες ὕδωρ, Ἱπποκρατ.

Ῥοδόστακτον, τὸ (στάζω) Παῦλ. Αἰγιν. ζ. 15. ἀποβλιμμα ἐκ ῥόδων μετὰ μέλιτος ἡτοιμασμένον, ὡς τὸ Ῥοδόμελι.

Ῥοδόσφυρος, ὁ, ἡ, ον (σφυρόν). Ὁ εὐειδῆ ἤτοι καλὰ ὡς ῥόδον τὰ σφυρὰ ἤτοι ῥοδοειδεῖς τοὺς πόδας ἔχων. Ἀνθολογ.

Ῥοδοφόρος, ὁ, ἡ, ον (φέρω). Ὁ ῥόδα φέρων, περίγων, ἢ κρατῶν.

Ῥοδόχρους, ους, ὁ, ἡ, ον (χρόα). Ὁ ῥόδου χρῶμα ἔχων, εὐειδὴς, εὔχρους.

Ῥοδόω, ῶ (ῥόδον). Μετὰ ῥόδων ἑτοιμάζω τι, ἢ ἐμβάλλω ῥόδα εἴς τι.

Ῥοδών, ῶνος, ὁ· ταὐτὸν τῷ, ῥοδεών.

*Ῥόδωνες, οἱ. Ἡρ' Ἀλεξανδρεῦσι· ἐκαλοῦντο οὕτως, οἱ ἄλλως Ὀρνιθίαι λεγόμενοι ἀνεμοι, ὡς ἐκ τῆς νήσου ῥόδον πνέοντες, Ὀλυμπιακ. εἰς τὰ Μετεωρολ. Ἀριστοτελ.

Ῥοδωνιά, ἡ (ῥόδον). Ἡ τῶν ῥόδων φυτεία, ἢ ὁ τῶν ῥόδων λειμών, ἢ κῆπος, τόπος ἔνθα εἶναι φυτευμέναι τριανταφυλλιαὶ ἢ καθ' Ἡσύχιον, τόπος ἔνθα φύεται τὰ ῥόδα. «Ῥοδωνιὰν βλαστάνουσαν ἀκτίλλειν». Δημοσθ. 2) Παρ' Ἀθηναίῳ σελ. 405. «Ῥοδωνιὰ λοπάς· πίναξ, ἢ πινάκιον μετὰ ῥοδωνιᾶς· ἦν δὲ αὕτη εἶδος φαγητοῦ μετὰ ῥόδων ἡτοιμασμένου, ὡς τὸ ῥοδόμηλον. 3) Κατὰ τὸν Φωτ. κλέγεται οὕτω καὶ ἡ ῥοδοδάφνη, καὶ εἶδος ἀμπέλου φερούσης σταφυλὴν (βότρυν) καρπληγίαν τῷ ῥόδῳ κατὰ τὸ χρῶμα· οὕτω κεῖται καὶ παρὰ τῷ μεγ. Ἐτυμολογ. ὁ δὲ Ἡσύχ. αὐτὶ τούτου, ῥοδία, ἔχει. Τὴν Σταφυλὴν ταύτην ἡ συνήθεια «Ῥοδίτην» ἀρτ. λέγει. 4) ῥοδωνιαὶ κλινικοὶ, τὰ μπουκούκια τῶν τριανταφύλλων. 5) Ὁ Ἡσύχ. λέγει ἔτι· «Δηλοῖ δὲ καὶ τὸ τοῦ ἀνδρὸς αἰδοῖον αὐτην.

Ῥοδῶπις, ίδος, ἡ. Ἡ ῥόδου ὄψιν ἢ πρόσωπον παρειὰς ἔχουσα, καλὴ, εὐειδὴς, εὔμορφος, κοκκινοπρόσωπος, ἢ κόκκινα ὡς ῥόδον μάγουλα ἔχουσα κυρ. ποιητ. Θηλ. τοῦ

Ῥοδῶπός, οῦ, ὁ, ἡ, ὸν (ὤψ). Κοκκινοπρόσωπος, εὐειδὴς, ὁ ὡραίων ὡς τριανταφύλλων πρόσωπον ἔχων.

Ῥοδωτός, ἡ, ὸν (ῥοδόω). Μετὰ ἢ διὰ ῥόδων ἡτοιμασμένος. «Ῥοδωτὸν, τὸν· τὸ ἐκ ῥόδων ἡτοιμασμένον ὕδωρ, οἶνος, κ. τ. τ. Rosatum· καὶ τὸ μετὰ ῥόδων καὶ σακχάρου ἡτοιμασμένον γλύκισμα. τὸ «Ῥοδοσάκχαρον» καὶ κοινότερον, Ῥοδοζάχαρι, τό,

*Ῥοδεῖδιον, τό, Ὑποκορ. τοῦ ῥόδος, μικρὸς ῥοῦς, μικρὸν ῥεῦμα, ῥύαξ, αὐλάκι.

Ῥόζω· παρὰ Σουϊδ. ταὐτὸν τῷ, ῥάζω, καὶ ῥύζω. Κυρίως μὲν ἐπὶ τῶν συῶν, μεταφερικῶς δὲ καὶ ἐπὶ ἀνθρώπων. Φώτιος· ἔστι δὲ τὸ πρωτότυπον τοῦ, ῥοίζος, ῥοιζέω, ῥοίβδος, ῥόθος κ. τ. τ.

Ῥοή, ἡ, Δωρ. ῥοά (ῥέω). Ῥύσις, ῥεῦσις, χύσμον, ῥεῦμα, ῥοῦς, ποταμὸς, ῥεῖθρον συχνάκ. παρ' Ὁμ ὅστις ἀεὶ τῷ ηληθ. ἀριθμ. χρῆται, καὶ συνάπτων αὐτὸ μετὰ τινος Γεν. Ἰλ. Β, 849. «Μαιάνδρου τε ῥοάων» ῥείθρα, ῥεύματα· Π, 863. «Λούτων ποταμοῖο ῥοῇσιν» ἐν Γ, 6. «Ὠκεανοῦ ῥοάων» καὶ ἐν Δ, 91. «Αἰτήκοια ῥοάων» ῥευμάτων, ῥείθρων· ὠκυπτ. καὶ παρ' Ἡσιόδ. λέγεται ὅτι καὶ «Διακρύων ῥοαὶ» τὸ χύσιμον τρέξιμο ἀπὸ τῶν ὀφθαλμῶν τῶν δακρύων· ὁ Ἡσύχ. ἔχει «Ῥοαὶ, ῥεύματα, ῥείθρα, πηγαὶ, ἱπποδρομοὶ, χεύματα, ἴδε ῥοός.

*Ῥοητόκος, ὁ, ἡ, ον (τίκτω). Ὁ γεννῶν, φέρων ἢ προξενῶν χειμάῤῥους βροχὰς, Ἰω. Γαζ. ἐκφρ. 2, 311.

Ῥοθέω, ῶ, μελ. ήσω (ῥόθος). Ῥόθον ἠχῶ, βοὴν, κρότον προξενῶ, ἐρέσσω εὐθύνως, ῥοιβδῶ, ῥέμβω, ἠχῶ δὲ κυρ. ἡ λέξις τὴν βοὴν καὶ τὸν κρότον τῶν κυμάτων ἐν τῷ ἀναπλάττειν. Ἔστι δὲ καὶ τὸν τῆς εἰρεσίας ἤτοι κωπηλατίας ψόφον, καὶ τὸ ἐκ συνήθματος ἀναφωνεῖν ἐπὶ τῇ εἰρεσίᾳ. 2) τροπ. μετὰ Αἰτ. ῥοθεῖν τινὶ τι, γογγύζω κατά τινος, μουρμουρίζω, μετ' ἀγανακτήσεως φωνάζω πρός τινα, Σοφ. Ἀντ. 290. ὁ Ἡσύχ. ἔχει· «Ῥοθεῖν, ὁρμᾶν, τρέχειν, λέγειν, φωνεῖν, παραβλ. ῥέζει.

Ῥοθιάζω, μέλ. άσω· ταὐτὸν τῷ, ῥοθέω, ἐξαιρ. ἐπὶ κυμάτων, καὶ ἠχῳ τῆς κωπηλατίας. «Νηῦς ὅταν ἐκ πετύλων ῥοθιάζῃ σὺν ῥοπῇ κότμου. 2) Μεταφορικ. παρ' Ἀριστοφ. Ἀχάρν. 807. μετὰ ῥόθου, ψόφου ἀσθίω, σημαίνει τὴν μετ' ἐπιθυμίας καὶ ψόφου τροφὴν τῶν χοίρων.

Ῥοθιάς, άδος, ἡ παρ' Αἰσχύλ. Προμ. 394. «Ἰώπη ῥοθιάδων· ταὐτὸν τῷ, ῥοθιάζουσα, ἢ ψοφοῦσα ἐν τῷ ἐρέσσειν, ἔστι δὲ ἰδίως ποιητ. Θηλ. τοῦ ῥόθιος.

Ῥόθιον, τὸ. ἴδε ἐν τῷ, ῥόθος, 2.

Ῥόθιος, ὁ, ἡ· καὶ, ία, ιον (ῥόθος). Ὁ ῥόθον ἤτοι κρότον, ἠχοῦς, δυνατὸν ἠχον ἀποτελῶν, ψοφῶν, θορυβῶν, ἐξαιρ. ἐπὶ τοῦ κρότου καὶ τῆς βοῆς τῶν κυμάτων ὅτε προσβάλλουσι ἢ φέρονται κατὰ τοῦ παραλίου. «Ῥόθιον κῦμα βέβρυχεν. Ὀδυσ. Ε, 412. τὸ μετὰ ψόφου καὶ ῥοίζου γινόμενον, ἀπὸ τοῦ γινομένου ἠχου· οὕτω καὶ «Ἡρόκλοι ῥόθιοι» ἐπὶ τῶν ψοφούντων καὶ μεγάλως ἠχούντων περιβαλασσίων ὑπὸ τῆς βιαίας καὶ ὁρμητικῆς προσβολῆς τῶν κυμάτων· οὕτω καὶ ἐπὶ νηός· «Νηῒ ῥοθίῃ τουτέστι, ψοφούσῃ, ἠχούσῃ ἐν τῷ πλεῖν ὑπὸ τῆς βίας τῶν ἀνέμων διωκομένῃ, καὶ κοπτούσῃ τὸ ὕδωρ τῆς θαλάσσης. «Ῥόθιος φαμβίδαι. Ἀθην. ζ΄. σελ. 327. «Μετὰ ῥοθίου βίαιου. Ἀριστοτέλ. κόσμ. δ΄. 30. ἡ ψοφοῦσα καὶ ἠχοῦσα, ἢ μετὰ ψόφου ὁρμή. «Ῥοθίῳ εἰρεσίῃ. Πολυαίν. δ΄. ξ΄. 6. τῇ μετὰ ψόφου γινομένη κωπηλατίᾳ. 2) τὸ ῥόθιον, ὡς οὐσιαστ. σημαίνει τὸν ὑπὸ τῶν κυμάτων προξενούμενον κρότον καὶ ψόφον, ὅταν ὁρμητικῶς προσβάλλωσι τῇ γῇ. Ἰδιαιτέρως δὲ ταὐτ. τῷ ῥόθος ἐπὶ τοῦ τῶν κυμάτων καὶ τοῦ ὕδατος ψόφου ἐν τῷ αὐτόσε ἐρέττειν, ἤτοι ὁ γινόμενος κτύπος τοῦ ὕδατος ὅταν οἱ ἐρέται αὐτόσε ἐρέσσωσιν, κωπηλατῶσιν, ὃ ἐστὶν, ὁ ὑπὸ τῆς διὰ τῶν κωπῶν ἀνακοπῆς τοῦ ὕδατος γινόμενος ψόφος. «Τὸ μὲν οὖν τῶν ἐλαυνόντων πλῆθος καὶ τῶν τοῦ ῥοθίου ψόφων. Ὑπερείδ. παρὰ

νεωτερ. δὲ ἰδιαιτέρως σημαίνει τὴν εὐτόνως καὶ ταχέως γινομένην εἰρεσίαν, καθ' ἃ καὶ ὁ Φώτ. ἑρμήνευσε· »Ῥόθιον, ἡ εἰρεσία, καὶ βοᾶζειν, τὸ ἐρέσσειν εὐτόνως· ὅστις ἔτι ἔχει· »Ῥόθιον καλεῖται παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον, ὅταν σφοδρῶς ἐλαύνωσιν· ὁ δὲ Σχολ. τοῦ Θουκυδ. »Τὸν τῆς εἰρεσίας ἦχον· ἡρμήνευσεν· οὕτως ἐχρήτατο τῇ λέξει καὶ Ἀρριανός. »Ὁπόταν σὺροῖσι ἐμπίπτοντες τῷ ῥοθίῳ ἀπαλαλάξειεν· ὁ Ἰώσηππος δὲ καὶ εἰμετὰ ταῦτα, καὶ ἐπὶ ἑτέρων ψοφούντων καὶ ἠχούντων πραγμάτων, εἶον· »Ῥόθιον παρελαύνων ἵππων· πολ. Ἰουδ. ζ'. 15. καὶ »Ἐνεστεῖλε αὐτοῖς τὴν ἵππον ἀῤῥάν, οἱ δὲ διατρύπησαν, οὐκ ἀνεχόμενοι τὸ ῥόθιον τὴν ὁρμὴν ὀηλ. ἢ κόλλιον τὴν ῥύμην, τὸ ταχὺ καὶ ὁρμητικόν, ἢ τὴν μετὰ ψόφου ὁρμήν· ἄλλοι ἡρμήνευσαν τοῦτο διὰ τοῦ, χρεμετισμός, ῥιμαγμός· ὅθεν

Ῥοθιότης, ητος, ἡ. Ὁρμή, σφοδρότης, βία, καὶ ἡ μετὰ τοῦ ψόφου εἰρεσία, Πολυδ. δ'. 22.

Ῥοθοπυγίζω, ἰδ. ῥοθιπυγίζω.

Ῥόθος, ὁ (ῥέζω). Ὁ ψόφος, ὁ κρότος, ὁ θορυβώδης ἦχος, ἐξαιρ. τοῦ ὁρμητικῶς ῥέοντος ποταμοῦ, ἢ ἡ μετὰ ψόφου ὁρμὴ τοῦ ποταμοῦ, ὁ ψόφος (ἦχος, βοή, βοχαλισμός) τῶν προσβαλλόντων τῇ γῇ κυμάτων, καὶ τῆς εἰρεσίας, ὅταν εὐτόνως ἐρέσσωσιν οἱ κωπηλάται. »Ῥόθος Περσικῆς γλώσσης, Αἰσχύλ. Πέρσ. 404. ἀντὶ, κακοφωνία, χασμῳδία τῆς βαρβάρου τῶν Περσῶν γλώσσης· ὁ Ὀππιαν. ἀλ. ε. 17. ἐχρήσατο τῇ λέξει καὶ ἐπὶ τοῦ ψόφου τῶν πτερῶν· »Πτερύγων ῥόθοισι εἰπών. 2) πᾶσα σφοδρὰ, ὁρμητικὴ καὶ βιαία κίνησις, φορὰ, ῥοὴ, ταχὺ καὶ βίαιον βάδισμα, ἢ τρέξιμον. »Τῆς δὲ δίκης ῥόθος ἐλκομένης, ἢ ἀνδρὸς ἄγοντι δωροφάγοις, Ἡσ. Ἔρ. 222. ἡ δικαιοσύνη στρέφεται καὶ ῥέπει, ἤτοι τρέχει ἐκεῖσε, ὅπου ὁδηγοῦσιν αὐτὴν οἱ δωροφάγοι κριταί· ἔνθα ὁ Πρόκλος (σελ. 57.) σημειοῖ, ὅτι οἱ Θεσπιεῖς καλοῦσιν ἰδιαιτέρως ῥόθον, τὴν τραχεῖαν καὶ ὀρεινὴν ὁδόν. 3) παρὰ Νίκανδρ. Θηρ. 672. δηλοῖ τὴν ὀρθίαν καὶ τραχεῖαν, ἤτοι τὴν ὀρεινὴν ὁδόν, τὴν διὰ ἀποτόμων κρημνῶν ὁδόν.

Ῥοιά, ἡ, Ἰων. ῥοίη, ταὐτὸν τῷ, ῥόα. Τὸ δένδρον ῥοιὰ ἢ ῥοιὰ λεγόμενον, Ὀδύσ. Η, 115. Λ, 589. 2) ὁ καρπὸς αὐτοῦ, τὸ ῥόδιον, ἢ ῥόδον, Τίμ. Δημ. 373, 412. καὶ Ἡρόδ. ζ, 143.

*Ῥοΐα, ἡ (ῥέω). Ἡ κυλίστρα τῶν ἵππων παρὰ τοῖς ποταμοῖς, ἔνθα οἱ ἵπποι φέρονται διὰ τὰ ποτιστῦσιν, Ἡσύχ. ἐξ οὗ ῥοΐζω.

Ῥοΐαξ, ακος, παρὰ Διογ. Λαερτ. ε. 72. »Ῥοιάκων ζαγόνων, ταὐτὸν τῷ, ῥοιά, πολλ. ἁμφ.

*Ῥοιός, άδος, ἡ, = ῥοιάς, πολλ. ἁμφ.

Ῥοιβδέω, ῶ, μέλ. ήσω (ῥοῖβδος), ταὐτὸν τῷ, ῥοφέω. Μετὰ κρότου, μετὰ θορύβου ῥοφῶ, ἢ καταπίνω, ἐπὶ τῆς Χαρύβδεως ἐν Ὀδύσ. Μ, 106. καθόλου δὲ ταὐτὸν τῷ, ῥοιζέω·

*Ῥοιβδηδόν, ἐπίῤῥ. = ῥοιζηδόν.

Ῥοίβδησις, εως, ἡ, ταὐτὸν τῷ, ῥοίζησις. Ἦχος ἐξύδ, ψόφος, κρότος, Εὐριπ. Ἰφ. Αὐλ. 1086. »Βουκόλων ῥοίβδησιν, ἤτοι συριγμόν.

Ῥοιβέμός, ὁ, ψευδομαρτυρ. γραφ. ἀντὶ, ῥοίβδος, ἢ ῥοιδός.

Ῥοίβδος, ὁ, ταὐτὸν τῷ, ῥοῖζος. Πᾶσα ὀξεῖα, ἐξαιρ. λιγυρὰ βοή, ταραχὴ, κρότος 2) καὶ πᾶσα ταχεῖα κίνησις γινομένη μετὰ κρότου, ἢ ταραχῆς, Ἀριστοφ. Νεφ. 406. ἔνθα συνεκφέρεται μετὰ τοῦ, ῥόμβη, ὅθεν

Ῥοιβδώδης, εος, ὁ, ἡ, ες (εἶδος), ταὐτὸν τῷ, ῥοιζώδης, ἐπὶ τοῦ τῶν ποιμένων συριγμοῦ.

Ῥοιδάριον, τό, καὶ, ῥοιδάριον, τό, = ῥοίδιον.

*Ῥοίδιον, τό, ἢ ῥοιδίον, τό, ὑποκορ. τοῦ, ῥοιά, ῥόα, μικρὸν ῥοιδί, ὁ τύπ. ῥοίδιον ἐλογίζετο καλλίων Ἀττ. Lobeck Φρυν. σελ. 87. Porta, Εὐριπ. Ἐκβ. σελ. LVII.

Ῥοίζασκε, Ἡσίοδ. Θεογν. 935. Ἰων. καὶ Ἐπικ. παρατατ. ἐκ τοῦ ῥοιζέω.

Ῥοιζέω, ῶ, μέλ. ήσω (ῥοῖζος). Μετ' ὁρμῆς καὶ ταχυτῆτος κινῶ ἢ περιστρέφω τι, ὥστε τὸ κινούμενον σῶμα ψόφον ποιόν ἀποτελεῖ. »Πάντα τὰ ῥοιζούμενα σώματα ψόφους ποιεῖν· παρὰ Νικαμάχ. ὁ δὲ Κοινκτιλιαν. ἀντὶ τούτου· »Πᾶν σῶμα τοῦτο ἔχει πολλῷ φερόμενον εἶχον ποιόν ἀποτελεῖν λέγει, καὶ ἀντεῖπεν ἀντὶ τοῦ, ψόφον ἢ ἦχον ποιῶ, συριγμόν τινα διὰ τοῦ στόματος ἀποτελῶ ἵνα ὦσω εἰς τινα σημεῖόν τι, Ἰλ. Κ, 502. »Ῥοίζησεν δ' ἄρα πιφαύσκων Διομήδεω· ὅ ἐστι κατὰ τὸν Σχολ. Ἀναῤῥωσε φθόγγοις, ὃ ἡμεῖς συρίζειν λέγομεν· ὅρα »Πιφαύσκων ῥοιζήσαι», ὅ ἐστι, ῥοιζηδὸν ἔφη ἀπέρχεσθαι. ῥοίζω σημαίνει δηλοῦς τοῦ ἀναχωρῆσαι. Ὁ Ἐπικ. παρατ. κατὰ σημασ. ἀορ. ῥοίζασκε εὑρηται παρ' Ἡσιόδ. Θεογν. 835. ἀσαύτως λέγεται καὶ ἐπὶ κυνῶν, ἀντὶ, ὑλακτεῖν, γαυγίζειν, καὶ, ἐπὶ ὀρνίθων, συρίζειν, ποππύζειν, κελαδεῖν, κ.τ.τ. »Οἱ ἄῤῥα ῥοιζοῦντες ὀρνιεσσι, Λουκ. ἤτοι, οἱ διὰ τοῦ ἀέρος φωνάζοντες. 2) μετὰ σφοδρᾶς καὶ βιαίας ταχυτῆτος κινοῦμαι, φέρομαι, ὅθεν ὁ Ἡσύχ. ἔχει· »Ῥοιζεῖ, δινεῖται, ὁρμᾷ, τρέχει, ῥοφεῖ. ὁ δὲ Φώτ. »Ῥοιβδεῖ, ἀναῤῥοφεῖ, ἀναῤῥιπτεῖ. ὅθεν

Ῥοιζηδόν, καὶ ῥοιζηδόν, ἐπίῤῥ. Μετὰ συριγμοῦ, σφοδρῶς καὶ ταχέως μετὰ ἦχου καὶ ψόφου· μετὰ ἦχου καὶ κτύπου τραχεῖου, Νίκανδρ. 2) μετὰ σφοδρᾶς ταχυτῆτος, ὁρμῆς, βίας, ἢ ἀκαθέκτου φορᾶς.

*Ῥοιζήεις, εσσα, εν (ῥοιζέω). Ὁ ἦχον, κρότον, ἢ συριγμὸν ἀποτελῶν, συρίζων.

Ῥοίζημα, τό (ῥοιζέω). Ὁρμή, βία, ταχύτης μετὰ ψόφου ἤτοι μετὰ ῥοῆς, ἦχου, ἢ συριγμοῦ, μεθ' οὗ καὶ κινεῖται σῶμά τι, Λουκιαν. 2) ἡ ταχύτης, ἡ ὁρμὴ, ἡ βία κινήσεώς τινος.

Ῥοιζητωρ, ορος, ὁ, ἡ (ῥοιζέω). Ὁ μετὰ βίας καὶ ὁρμῆς κινούμενος, καὶ ἦχον σφοδρὸν ἀποτελῶν, ἢ ἁπλῶς ὁ ἦχον καὶ συριγμὸν ποιῶν, Ὀρφ. Τίμ. ε'. 5.

Ῥοιζόθεμις, ἰδος (θέμις). Θέμις, εἶνη, κρισολογία μετὰ ἦχου, φωνῶν καὶ βοῆς γινομένη Κικερ. πρὸς Ἀττικ. ιδ'. 10.

Ῥοῖζος, ὁ, καὶ Ἰων. ἡ, ταὐτὸν τῷ, ῥοίβδος. Ἦχος, κρότος, βοή, μεθ' οὗ κινεῖται καὶ φέρεται σῶμά τι· καθόλου δὲ ψόφος, ἦχος, ῥεῦμα σφοδρὸν ἤτοι ὁρμὴ, συριγμός, ὁ ἀποτελούμενος ἦχος ἐν τῷ ἀέρι κατὰ τὴν τῶν οἰστῶν φορὰν· Ἰλ. Π, 361. »Σκέπτετ' οἰστῶν ῥοῖζον, καὶ δοῦπον ἀκόντων· λέγεται ἔτι καὶ »Τοῖζος πνευμάτων, Π. Οὐτορ. ὁ προξενούμενος ἦχος ὁπόταν ὁ ἄνεμος βιαίως φέρεται διά τινος ὀπῆς, ἢ ὅταν ἠχολογοῦσι ὑπὸ τοῦ ἀνέμου τὰ ἄρμενα τοῦ πλοίου· οἷος π. χ. ἐστιν ὁ ἦχος »Ψύττ, φαίνετ, ἢ βύζ, ἢ σίττω, καὶ τὸ σφύριγμα τῶν ποιμένων, ἐν Ὀδύσ. Ι, 316. »Πολλὴ δὲ ῥοῖζος πρὸς ὄρος τρέπε πίονα μῆλα βώλωψι, ὅπερ ἄλλοις αὖτε τοῦ, συρίττων ἐν τῷ ἐξάγειν τὸ ποίμνιον, καὶ ψιττάζειν λέγεται, ἤτοι ποιμενικῶς φθέγγεσθαι. 2) Ἡ ταχύτης, ἡ ὁρμὴ, βία ἢ ῥώμη ἑνὸς κινουμένου σώματος· παραβλ. καὶ ῥόμη

Ῥοίζω (ῥοή, ῥοία). »Ἵππον ῥοίζειν, ἔρριπος ὑπάγειν τὸν ἵππον εἰς τὸν ποταμόν, ἔνεκα τοῦ πλύνειν αὐτὸν βέλτιον τό, πλύνειν τὸν ἵππον ἐν τῇ ῥοῇ ἢ ἐν τῷ ῥοισμῷ φέρειν αὐτὸν, ἔτι καὶ μεσ. ῥοίζομαι, Lob. Φρ. σλ. 616.

Ῥοιζώδης, εος, ὁ, ἡ, ες (ῥοῖζος, εἶδος). Ὁμοιος ῥοίζῳ, πλήρης ἦχου, κρότου, ἢ συριγμοῦ· »Τὸ ῥοιζῶδες τῆς περιαγωγῆς, παρὰ Πλουτάρχ. ἡ ὁρμὴ, ἡ ταχύτης καὶ ὁ ἦχος τῆς περιαγωγῆς, περιστροφῆς.

Ῥοιζωτήρ, ῆρος, ὁ, ταὐτὸν τῷ, ῥοιζήτωρ, Ὀρφ. Τίμ. ζ'. 6. ἁμφ.

*Ῥοΐη, ἡ, Ἰων. ἀντὶ ῥοΐα, Ἡρόδτ.

Ῥοικοειδής, ὁ, ἡ, ἐς (ῥοικός, εἶδος), ἀντὶ τοῦ, ῥαιβοειδής Κεμπυλοειδής, ὅμοιος καμπύλῳ, ἢ ὑ φαινόμενος ὡς καμπύλος, κυρτοειδής.

Ῥοικός, ή, όν (ῥέω, ῥοῦς). Ῥευστικός, ῥευστός, καὶ ἐν γένει, μαλακός, τρυφερός, ἁπαλός, σπογγώδης. 2) Ὁ ῥεῦμα ἢ ῥευματισμὸν πάσχων, ἢ ὁ ῥεῦστν, ῥινὶ καὶ κίνησιν τῆς κοιλίας ἢ τῆς μήτρας ἔχων ἢ εἰς τοῦτο ὑποκείμενος.

Ῥοικός, ή, όν, ταὐτὸν τῷ, ῥαιβός, καμπύλος, στρεβλός, στραβός, ἐξαιρ. ὁ στρεβλοὺς πόδας ἔχων, στραβοπόδης, Θεόκρ.

*Ῥοῖκος, ου, ὁ, ἄρτον. κύρ. ὄνομ. Γίγαντός τινος, καὶ Κενταύρου, παρὰ Πινδ.

*Ῥοικώδης, ὁ, ἡ, ες = ῥοικοειδής.

Ῥοΐσκος, ὁ, ὑποκορ. τοῦ ῥόα. Μικρὸν ῥόδι, ἔτι δὲ ῥοΐσκοι, παρὰ τοῖς Ο'. Ἔξοδ. 28. καλλωπισμοί τινες (στολίδια) ἐν ταῖς ἱερατικαῖς στολαῖς κρεμάμενοι καὶ ῥοδίου σχῆμα ἔχοντες.

*Ῥοίσκος, ὁ, ὑποκορ. τοῦ ῥοῦς. Μικρὸν ῥεῦμα, ῥύαξ, αὐλάκιον.

Ῥοίτμός, ὁ (ῥοίζω) Τὸ λεῦσιμον ἢ λούσιμον τῶν ἵππων παρὰ τῷ ποταμῷ, Ὁ Ἡσύχ. ἑρμην. διὰ τοῦ, »Ὁ τῶν ἵππων ῥυμός, ἔνθα ὀρθότερον ἀναγιωστέον· »Τὸ τῶν ἵππων ῥύμμα, ἢ ὁ τῶν ἵππων κυλισμός, παρὰ τῷ ποταμῷ, ὡς καὶ ἐν λέξ. ῥοΐα, ἔχει· ὁ αὐτὸς ἔχει· »Ἱππολούστρα, ἔνθα τοὺς ἵππους ἀπέπτυσεν. Lavoir des chevaux, Γαλ. das Schwemmen, Γερ.

Ῥοίτης, ου, ὁ (ῥόα). »Οἶνος ῥοίτης· οἶνος ἐκ ῥοιδίων κατεσκευασμένος.

Ῥομβαία, ἡ, σπάν. τύπ. ἀντὶ ῥομφαία.

Ῥομβέω, ῶ, μέλ. ήσω (ῥόμβος). Στρεφογυρίζω, κινῶ ἢ γυρίζω τι ὀλόγυρα ὡς ῥόμβον, ὡς κύκλον, καὶ ἐντεῦθεν ἀντὶ τοῦ, σφενδονίζω, τινάττω ἢ βάλλω, ῥίπτω, ὅθεν

*Ῥομβηδόν, ἐπίῤῥ. Εἰς σχῆμα ῥόμβου, κατὰ τὸν τρόπον τοῦ ῥόμβου.

Ῥομβητής, οῦ, ὁ (ῥομβέω). Ὁ ὡς ῥόμβος περιστρεφόμενος, ἢ ὡς σχῆμα ῥόμβου περιδονούμενος, γυρίζων, Ὀρφ. Τίμ. λ'. 2.

Ῥομβητός, ή, όν (ῥομβέω). Ὅστις περιστρέφεται, περικινεῖται καὶ περιδονεῖται, ἢ εἶναι δυνατὸν νὰ περικινηθῇ, νὰ γυρισθῇ εἰς σχῆμα κύκλου ἢ ῥόμβου, καὶ ὁ μετὰ περιστροφῆς ῥιφθείς, σφενδονιστός, Ἀνάλεκτ. β'. σελ. 81.

Ῥομβοειδής, ές, ὁ, ἡ, ές (εἶδος). Ὁ ῥόμβου εἶδος, ἢ σχῆμα ἔχων.

Ῥόμβος, ὁ, Ἀττ. ῥύμβος (ῥέμβω). Πᾶν κυκλοειδὲς πῶμα, ὅθεν 1) τροχίσκος τις, δι' οὗ παίζουσι τὰ παιδία, ἔπερ καὶ στρόμβος, καὶ βέμβιξ, λέγεται, Λατ. turbo. Ὁ Ἐτυμολογ. ἐν λέξ. ῥόμβω, ἔχει· »Ῥόμβῳ καὶ τυμπάνῳ Φρύγες ἐλάκκευσαν, ἐξ Ἀπολλ. τὸν τῷ ῥόπτρον, καὶ ἑρμην. διὰ τοῦ, »Μυστικῷ σανίδιῳ, ὃ περιφοῦσιν εἰς τὸν ἀέρα, καὶ ἦχον ἐμποιοῦσι, ῥόμβος δὲ καὶ ῥόμβος ἔχως λέγεσθαι ἔστι δὲ τροχίσκος, ὃν τύπτοντες ἰμᾶσι καὶ στρέφοντες, ποιοῦσι περιδονεῖσθαι καὶ ψοφον ἀποτελεῖν. Ῥόμβον δὲ αὐτὸν Εὔπολις εἶπε· καλεῖται δὲ καὶ βρυτήρ· τοιοῦτον καὶ ὁ Εὐστάθ. ἐν Ὀδύσ. Α. σελ. 1387. καὶ ὁ Σχολ. Ἀπολλ. Ῥοδ. δ. 1139. »Τόμβος, τροχίσκος, ὃν στρέφουσιν ἱμᾶσι τύπτοντες, καὶ οὗτος κτύπον ἀποτελοῦσι· τινὲς δὲ καὶ ῥόμβον αὐτὸ καλοῦσιν, ὧν Εὔπολις ἐν Βάπταις καὶ Διδύμοις· ὅθεν Φώτ. »Τόμβος, ὃν ἔχουσιν οἱ ἀποδειλίζοντες ὡς τὸ τύμπανον· φησὶ Εὔπολις. 2) ὁ μαγικὸς τροχίσκος, ᾧ χρῶνται ἐν ταῖς μαγείαις εἰ μάγοι, καὶ μάγισσαι, καὶ ἔστρεφον αὐτὸν ἐν ταῖς τελεταῖς, καὶ ἐν τοῖς ὁρκισμοῖς. Ἀρχύτας ἐν Excerpt. Henr. Steph. σελ. 84. »Καὶ τοῖς ῥόμβοις τοῖς ἐν ταῖς τελεταῖς κινουμένοις τὸ αὐτὸ συμβαίνει· ἦσυχα μὲν κινούμενοι βαρὺν ἀφιᾶσι ἦχον, ἰσχυρῶς δέ, ὀξὺν· καὶ Θεόκρ. εἰς Φαρμ.

»Χ' ὡς ἀεὶδ' ὅτε ῥόμβος ὁ χάλκεος ἐξ Ἀφροδίτας, Ὡς κείνος δινοῖτο ποδ' ἀμετέρῃτι θήρασιν· ὁ μαγικὸς τροχίσκος, Λατιν. rhombirota. 3) Μαθηματικόν τι σχῆμα, σχηματίζον δύο κώνους συνημμένους ἐν ταὐτῷ τὰς βάσεις ἔχοντας· ἢ σχῆμα εὐθύγραμμον, δύο σχεδὸν γωνίας ἔχον, καὶ δύο ἀμβλείας, καὶ τοῦ ἀπείρου αἱ πλευραὶ εἰσὶ παράλληλοι, καὶ τὸ ὅλον τετράγωνον ◇. 4) Ἰχθύς τις ῥόμβον εἶδος ἔχων. turbot, Γαλ. 5) Δέμα τι χειρουργικόν. Ἡ ταχεῖα, σφοδρὰ καὶ κυκλοειδὴς κίνησις, περιφορά, δίνησις, περιστροφὴ τοῦ τροχοῦ, ἢ τροχίσκου τινός, κ. τ. τ. ἢ ῥοπή, ἢ ὁρμὴ ταχέως πετομένου πτηνοῦ· »Ἀλωπηξ αἰετοῦ ῥόμβον ἔτυχεν, Πίνδ. Ἰσθμ. 4, 81. ἔτι δὲ ἐνεργ. τὸ περιστρέφειν, σφενδονᾶν, περιδονεῖν, σφενδόνητις, ῥίψιμον, ἢ κατὰ κύκλον περιστροφή, νεύδων ἀκόντων ἰοὶ ῥόμβοντο, Πίνδ. Ὀλ. 13, 113. τὴν δίνησιν ἤτοι περιστροφήν, καὶ τὸ ῥίψιμον τῶν ἀκ. ὅσεν

Ῥομβώδης, εος, ὁ, ἡ, ες, ταὐτὸν τῷ, ῥομβοειδὴς· Ὁ ῥόμβον εἶδος καὶ σχῆμα ἔχων.

Ῥομβωτὸς, ἡ, ὁν, ὡς ἐκ τοῦ ῥομβόω. Ὁ κατὰ τὸ σχῆμα τοῦ ῥόμβου κατεσκευασμένος, ῥομβώδης. »Ὀρόφωμα ῥομβωτὸν, Ἀθην. ε'. σελ. 208. »Πλέγμα ῥομβωτὸν δικτύοις ἐμφερές, Ἰώσηπ. ἀρχ. ιβ'. 2. 2) = ῥομβητός, ἐν Ἀναλεκτ. β'. σελ. 10. »Ῥομβωτῷ οὐρισχῷ δοΐρατος, ἤτοι ἐρρίμμένῳ, ἐσφενδονισμένῳ, ὅπου ἡ γραφ. ἀμφιβ. ἐστι.

Ῥόμμα, τό (ῥοφέω), ταὐτὸν τῷ, ῥόφημα, Γαλην. Γλωσσ.

Ῥόμοξ, οκος, ὁ, καὶ ῥόμος, ὁ. Σκώληξ ἐν ξύλοις (teredo, termes).

Ῥομφαία, ἡ. Εἶδος μεγάλου καὶ πλατέος ξίφους· ὁ Ἡσύχ. ἔχει ῥομφαία, Θράκιον ἀμυντήριον, μάχαιρα, ξίφος, ἢ ἀκόντιον μακρόν, ἐχρῶντο δὲ ταύτῃ οἵ τε Θρᾷκες καὶ ἄλλα τινα ἔθνη· παρὰ Πλουτάρχ. εἰς Αἰμίλ. 18. καίπερ »Ῥομφαίας βαρυτιθήνους, ἃς ἐπὶ τοὺς ὤμους ἄφερον, καὶ ἐξαίρτ. ἐπὶ τοῦ δεξιοῦ ὤμου γράψεται καὶ ῥομβαία, ἡ.

*Ῥομφάω, = ῥοφάω.

Ῥομφεύς, ὁ. Ῥόμμα, ἢ κλωστή, δι' ἧς ῥάπτονται τὰ ὑποδήματα, ἢ τὰ δερμάτινα σανδάλια, Ἡσύχ.

Ῥόος, καὶ συναλ. Ἀττ. ῥοῦς, ὁ (ῥέω). Ῥεῖθρον, ῥοή, ῥεῦσις, φορά, τρέξιμον ὑγροῦ τινος, ῥύμη, ῥεῦμα, ποταμὸς, χειμάρρους, συχνάκις παρ' Ὅμ. ὅστις χρῆται μόνον τῷ ἑνικ. ὁρσ. καὶ ὡς ἐπὶ πολὺ συνεπιφέρει καὶ γεν. »Ῥοος Ἰλιαπόλοιο, Od. M, 1. καὶ Ἰλ. Φ, 16. »Πλῆτο ῥόος, (Πηνείου) κελάδοντος, ἐπλημμύρει ὑγιὲς τὸ ῥεῦμα τοῦ Πηνείου ποταμοῦ· καὶ »Ῥοῦς ἱερὸς Ἀλφειοῖο, Ἰλ. Λ, 725. καὶ ἀλλαχοῦ »Ῥοῦς γυναικείους, τὰ καταμήνια τῶν γυναικῶν, ἢ ἀπὸ τῆς μήτρας ῥεῦσις τοῦ αἵματος. Κατὰ ῥόον, δηλ. κατὰ τὸν δρόμον καὶ τὴν διεύθυνσιν τοῦ ῥέοντος ὕδατος, τοῦ ποταμοῦ, Ὅμ. ἀνὰ ῥόον, ἤτοι ἀναντίον τοῦ ῥεύματος, τῆς ῥοῆς τοῦ ποταμοῦ, ἢ τῆς φορᾶς τῶν κυμάτων, Ὅμρ. ὡσαύτως καὶ παρὰ ῥόον ἢ ῥοῦν· παρὰ ῥοή, ὅθεν »Κατὰ ῥοῦν φέρεσθαι τὰ πράγματα», παρομοίᾳ ἐπὶ τοῦ κατὰ τὸν βίον εὐροούντων, ὅταν τὰ πράγματα ὑπάγουσι, γίνεται κατ' εὐχήν, εἴτουν ἀποβαίνουσιν εὐτυχῶς, Ξενοφ. Ἱππ. 3'. 5. »Ἐὰν τὸ θᾶττον ὁρμώμενον καὶ τοῦ ῥοῦ, εἰς τὸ καλλίτερον ὑπάγοιτο καὶ εἰς τὸν δῆμον του. Οἱ μεταγν. ἐχρήσαντο τῇ ἑτερόκλ. δοτ. ῥοΐ, ὡς τὸ νοΐ ἐκ τοῦ νοῦς, καὶ τῇ γεν. ῥοΐς, καὶ Ἀττ. ῥόα. Lob. Φρυν. σελ. 454. Ἰακ. Ἀχ. Ταπ. σελ. 671.

Ῥοπαλῃφορέω, ῶ (ῥόπαλον, φέρω). Ῥόπαλον ἤτοι χονδρὸν κομμάτιον ξύλου ὡς ῥάβδον φέρω, βαστάζω.

*Ῥοπαλῃφόρος, ὁ, ἡ, ον. Ὁ ῥόπαλον φέρων, κρατῶν.

Ῥοπαλίζω, μέλ. ίσω (ῥόπαλον). Διά τοῦ ῥοπάλου κτυπῶ, ἢ στρέφω, ἢ κινῶ τὸ ῥόπαλον· Ἡσύχ.

Ῥοπαλικός, ἡ, όν (ῥόπαλον). Ὁ ὡς ῥόπαλον ὤν, ὅπερ ἀεὶ πρὸς τὰ ἄνω χονδρότερον γίνεται, ἐξαιρτ. »Στίχος ῥοπαλικός, »Versus ropalicus» παρὰ Σερβίῳ, λέγεται, ὅταν κάθε ἀκόλουθος λέξις ἔχει περισσοτέρας μίαν συλλαβήν, ὡς π. χ. Rem tibi confecl, doctissime, dulcissimorum, τοιοῦτος ἐστι καὶ ὁ Ὁμηρικὸς ἐν Ἰλ. Γ', 183. στίχος· »Ὦ μάκαρ Ἀτρείδη, μοιρηγενές, ὀλβιόδαιμον· ἔνθα ὁ Εὐστάθ. λέγει· »Ἐπαινεῖται, διὰ τὸ τὰς ἐν αὐτῷ λέξεις, κατά τινα πρόοδον αὐξητικὴν, ἀρξαμένας ἀπὸ μονοσυλλαβίας, προσαύξεσθαι συλλαβικῶς, κλιμακηδὸν κατὰ προσθήκην ἀνάλογον τῇ ἀνόδῳ τοῦ φυσικοῦ χρόνου τοῦ ἀριθμοῦ· μονοσυλλαβοῦ γάρ, ὦ, δισύλλαβον τό, Μάκαρ, τριῶν δὲ συλλαβῶν τό, Ἀτρείδη, καὶ ἑξῆς ἕως πεντασυλλαβίας.

Ῥοπαλισμός, ὁ (ῥοπαλίζω). Τὸ τύπτειν, κτυπᾶν μετὰ τοῦ ῥοπάλου. 2) Τάσις, τέτανος, τέντωσις τοῦ ἀνδρικοῦ αἰδοίου, κόρδωμα τοῦ γεννητικοῦ μορίου, Ἀριστοφ.

Ῥοπαλοειδής, ές, ὁ, ἡ, ές (εἶδος). Ὁ εἶδος ῥοπάλου ἔχων.

Ῥόπαλον, τό (βέμβω, ῥέπω). Ξύλον χονδρὸν ὡς βακτηρία, κόρυμβον ἢ ῥόζον κατὰ κορυφὴν ἔχον, ἢ πρὸς τὰ ἄνω χονδρότερον ὂν καὶ βαρύτερον· ματσοῦκα, ὅπλον ἀμυντήριον ἑτερόκλ. ἐξ ἑνὸς μέρους ῥοπὴν ἔχον καὶ βάρος· ὁ Ὁμηρ. ἐν Ἰλ. Η, 141. »Κερύνην εἶπε τοῦτο· ἐν δὲ Ἰλ. Λ, 55. καὶ 561. ῥόπαλον, εἶπεν, ὡς καὶ ἐν Ὀδ. Γ, 195. καὶ Ι, 319. ἐν δὲ Ὀδ. Λ, 575. λέγει τοῦτο ἐκ χαλκοῦ· »Χερσὶν ἔχων ῥόπαλον παγχάλκειον· ὁ δὲ Ἡσίοδ. 7, 63. λέγει ἰδίως· »Ῥόπαλα ἐκ ξύλων», ἢν δὲ τοῦτο παράτυμον τοῦ Ἡρακλέους. 2) ταὐτὸν τῷ ῥόπτρον, ἀριθμ. 3. παρὰ Ξενοφ. Ἑλλ. ζ'. δ'. 36. 3) Τὸ αἰσθητὸν αἴτιον, τὸ ποσὸν, Ἐπιγρμ. »Ἰδυτενὲς μηρῶν ὄρθ' ἁσας ῥόπαλον», Ὁ Ἡσύχ. ἑρμην. διὰ τοῦ, βακτηρία, ῥάβδος.

Ῥοπαλωσις, εως, ἡ (ῥοπαλόω). »Τριχῶν ῥοπάλωσις ἢ κατὰ κορυφὴν ῥοπαλοειδὴς κατάστασις τῶν τριχῶν, Γαλην.

Ῥοπαλωτός, ἡ, όν (ῥοπαλόω). Ὁ κατὰ τὸ σχῆμα τοῦ ῥοπάλου γεγενημένος, κατεσκευασμένος ἢ ὁ ῥοπάλου σχῆμα ἔχων· »Κλεῖδι ῥοπαλωτῇ, Δίων Κάσ. ψευτήρ, εἶδος πέματος, τὴν περιγραφὴν ταύτης δύναται τις ἰδεῖν παρ' Ἀθην. ια'. σελ. 488.

Ῥοπή, ἡ (ῥέπω). Κυρίως λέγεται ἡ κλίσις, ἢ κατ' ὀλίγον πρὸς τὰ κάτω κίνησις ἱσταμένου τινὸς σώματος· ὥρα, φορά, καταφορά, κίνησις ἐπὶ τὰ κάτω, πτῶσις, οὗ ἐναντίον τὸ, ῥοῦς, ἢ πρὸς τὰ ἄνω κίνησις· καὶ ἐντεῦθεν ὁ Ἀριστοτέλης λέγει »Τὰ μείζω ῥοπὴν ἔχοντα ἢ βάρους ἢ κουφότητος· τὰ κινούμενα ἐπὶ τὰ κάτω ἢ πρὸς τὰ ἄνω. δυνάμει τῶν ἑαυτῶν βαρύτητος ἢ κουφότητος, ἐξαιρτ. λέγεται ἡ κλίσις, ἡ καταφορὰ τῆς πλάστιγγος, καὶ αὐτὸ τὸ βάρος προσδιορίζον τὸ ἀναλογον μέτρον, ἢ ἀξίαν πράγματός τινος, ὡς ἐχέτω ἡ μνᾶ ἡ ἐμπορικὴ ῥοπὴν δραχμὰς δέκα δύο, Ἐπιγρμ. καὶ μεταφρ. τὸ πρᾶγμα ἐκεῖνο, ὃ φέρει τὸ ἀποτέλεσμα, τὸ τέλος, τὴν ἀπόφασιν, τὴν κρίσιν, ὅ ἐστι, τὸ ἀποτελεστικὸν πρᾶγμα, τὸ τέλος, τὸ τελικὸν αἴτιον, ἢ στιγμὴ ἐκείνη, καθ' ἣν ἀμέσως ἅπτεται ἡ κρίσις πράγματός τινος, καθ' ἣν δίδεται ὡς ὡρισμένον τι τέλος τοιόνδε ἢ τοιόνδε εἰς τινα πρᾶξιν ἢ εἴς τι συμβεβηκός, καθ' ἣν ἀποφασίζεται τι ὡρισμένως, momentum, moment, Ξενοφ. Κυρουπαιδ. δ'. β'. 8. »Μὴ μικράν τινα ἑαυτῶν οἴεσθε ῥοπὴν εἶναι· καὶ ἐντεῦθεν, ἡ στιγμὴ τοῦ χρόνου, τὸ μικρότατον μέρος αὐτοῦ, ὅσον εἶναι, π. χ. τὸ ἀνοιγοσφάλισμα τοῦ ὀφθαλμοῦ· ἐντεῦθεν καὶ ἡ συνήθεια τοῦτο τὸ μικρότατον μέρος τοῦ χρόνου, ἐκφράζει διὰ τοῦ »Στιγμή, καὶ ῥοπὴ ὀφθαλμοῦ, παρὰ Πλουτάρ. Ἀρταξ. 30. »Ἦν μὲν οὖν ἐπὶ μικρᾶς ῥοπῆς ὁ Ἀρταξέρξης, ἐχαπάζετο μόνον μία παραμικρὰ περίστασις ἢ αἰτία, ἵνα δώσῃ τὸ τέλος εἰς τὸν θάνατον αὐτοῦ, ἐκρέματο ἡ ζωὴ αὐτοῦ εἰς τὴν στιγμὴν, εἰς παραμικράν τινα αἰτίαν νὰ τελειώσῃ, ὅθεν, ἐν ῥοπῇ ἢ ἐπὶ ῥοπῆς ἐστί, ἢ κεῖται, εὑρίσκεται εἰς τὴν στιγμὴν, εἰς τὴν τελευταίαν ἀκμὴν τοῦ νὰ . . ἢ εἰς τὸν μέγιστον καὶ κατεπείγοντα κίνδυνον, ὡς τὸ Λατ. est in discrimine, καὶ, μεγάλη ἢ μικρὰ ἐστί ῥοπή τινος, ἀντὶ, ἔχει μεγάλην ἢ μικρὰν ἐπίδρασιν, συντελεῖ μεγάλως ἢ ὀλίγον μόνον, ὡσαύτ. »Καὶ πρὸς τὸν βίον ἡ γνῶσις αὐτοῦ μεγάλην ἔχει ῥοπὴν», Ἀριστοτλ. Νικομ. δ'. 1. ἔχει μεγάλην εἰσροήν, δύναμιν, ἐνέργειαν. τὸ δὲ, ῥοπὴ ἐστί τινος, δηλοῖ ἐπὶ ξυροῦ ἵσταται, πλησιάζει νὰ πέσῃ, κινδυνεύει, ὅθεν Σοφοκλ. Οἰδ. Κολ. 1508. »Ῥοπὴ βίου μοι· ἵσταται ἐπάνω εἰς τὴν στιγμήν, ἵνα τελειώσῃ ἡ ζωή μου, »Βλέπω δύο ῥοπάς, ἡ γὰρ θανεῖν δεῖ με, ἢ πατρὸς ἀπελθεῖνα, Εὐριπ. Ἑλλ. 1096. ἐγὼ βλέπω ἐδῶ εἰς τὸν παρόντα κίνδυνον δύο πράγματα. 2) Τὸ βάρος, τὸ ὁποῖον καταφέρει, ἕλκει πρὸς τὰ κάτω τὴν πλάστιγγα, καὶ ἐντεῦθεν, τὸ ὑπερβάλλον, τὸ πλεονάζον, τὸ ὑπερέχον, τὸ ὑπερβάλλον αὐτὸ τὸ μέτρον κατὰ τὸ κῦρ. καὶ τροπ. σημασίαν. Ὁ δὲ Ἡσύχ. ἑρμην. διὰ τοῦ, κλίσις, νεῦμα, ῥέμβος, δύναμις, βοήθεια· ὅθεν

Ῥοπικός, ἡ, όν. Ὁ κλίσιν, ῥοπὴν ἔχων πρός τι. »Ῥοπικὸς πρὸς συνουσίαν, Ἀντίγ. κεφ. 127. 2) ἐνεργ. Ὁ δίδων τὴν ῥοπὴν, τὴν πρὸς τὰ κάτω κίνησιν ἢ φορὰν εἴς τι.

Ῥοπτός, ἡ, όν, ῥημ. ἐπίθ. τοῦ ῥοφάω. Ῥόφητὸς, πρὸς ῥόφησιν (ῥόφημα) ἐπιτήδειος ἢ ἠτοιμασμένος, Γαλην. Γλωσσ. ἴδε ἐν τῷ, ῥοφάω.

Ῥόπτρον, τό (ῥέμβω), ταὐτὸν τῷ, ῥόπαλον. Τὸ ἀμυντήριον ξύλον, ἢ ἡ κατὰ κορυφὴν κόμβον ἔχουσα ῥάβδος, βακτηρία, ματσοῦκα (τοπικ. Τουρ.) Εὐριπδ. »Ἔπεισεν αὐτὸν δίκης ῥόπτροισι». 2) Τὸ ἐπίπαστρον τῆς θύρας, τὸ σίδηρον δηλ. δι' οὗ κρούομεν τὴν θύραν, ἵνα ἐνειδώσωσιν αὐτήν, Πλούταρχ. περὶ Πολυπραγ. »Ἀλλὰ τῶν μὲν εἰσὶ θυρωροὶ, πάλαι δὲ ῥόπτρα κρουόμενα πρὸς ταῖς θύραις». Ἔτι δὲ καὶ αὐτὸς ὁ κρίκος, δι' οὗ ἑλκοντες τὴν θύραν κλείομεν αὐτὴν, ὅπερ ἄλλως ῥόπαλον καὶ σίραξ λέγεται, Ἀθην. »Ἐχέτωσαι τῶν ῥόπτρων τῶν θυρῶν τοῦ ἱεροῦ· λέγονται οὕτω διὰ τὸ κρούειν καὶ δι' αὐτῶν τὰς θύρας· ἐντεῦθεν ἔτι καὶ τὸ τοῦ τυμπάνου ξύλον (δι' οὗ κρούεται τὸ τύμπανον), τὸ τυμπανόξυλον. 3) ταὐτὸν τῷ, σκαθάληθρον, τὸ ξύλον, δι' οὗ στηρίζεται ἡ παγὶς, ἄλλως ὑοπλυγῆ λεγόμενον. 4) Μουσικόν τι ὄργανον τῶν Κορυβάντων καὶ τῶν ἱερέων τῆς Ῥέας, ὅπερ ἠφουσκωμένες τις ἀσκὸς μετὰ τινος χαλκίνου κρίκου, ὅστις περιδονούμενος μετὰ ἱμάντος ἐρρίπτετο εἰς τὸν ἀέρα, Ἀπολλ. Ἀργ. α'. 1139. »Τύμβῳ καὶ τυμπάνῳ Ῥείην Φρύγες ἰλάσκοντο», ὁ Πλούταρχ. εἰς Κράσ. λέγει· »Ῥόπτρα βυσσοπαγῆ καὶ κοῖλα περιτείνοντες ἠχεῖοις χαλκείοις ἅμα πολλαχόθεν ἐπιδοπεύσιν. Ταῦτα τὰ ἠχεῖα καλεῖ ἐν ἐπιγράμμα τοῦ Φαλαίκου· »Ῥόπτρων κορυβαντείων χάλκεα ἰαχήματα», Ἡλιόδωρ. δ'. σελ. 434. »Τῶν Αἰθιόπων ῥόπτροις καὶ τυμπάνοις τὴν μάχην ἐπισημαινόντων», ὅπερ ἔτι καὶ »Ῥόμβος», καὶ Ἀττ. ῥόμβεσι καλεῖται.

*Ῥούδιον, τό, νεώτρ. τύπ. ἀντὶ ῥοΐδιον, Lob. Φρύν. σελ. 87.

*Ῥοῦς, ὁ Ἀττ. κατὰ συναίρ. τύπ. ἀντὶ ῥόος.

Ῥοῦς, ὁ, καὶ ἡ, γενικ. ῥοῦ, καὶ ῥοός, Lob. Φρυν. σελ. 87. Εἶδος δένδρου μικροῦ, οὗ τινες δ' φλοιὸς καὶ ὁ καρπὸς εὔχρηστος ἐστὶν πρὸς βυρσοδεψίαν, πρὸς ἐργασίαν τῶν δερμάτων, ἐχρῶντο ἔτι τοῖς καρποῖς αὐτοῦ καὶ πρὸς ἄρτυσιν καὶ καρύκευσιν τῶν φαγητῶν ὁ Λιν. καλεῖ τοῦτο rhus cotinus, Γαλ. sumac· ἡ δὲ συνήθεια ῥοῦλον ὁ Διοσκορ. ἐν δ. κεφ. 148. ἔχει· »Ῥοὺς ἐπὶ τὰ ἕλη, ὃν ἔνιοι ἐρυθρὸν καλοῦσι, καρπός ἐστι τῆς καλουμένης Βυρσοδεψικῆς ῥοός, ἥτις οὐνομάσθη ἐκ τοῦ τοὺς βυρσοδέψας αὐτῇ χρῆσθαι εἰς τὴν στύψιν τῶν δερμάτων· ἔστι δὲ ἀνάμμιον φυόμενον ἐν πέτραις ὡς δίπηχυ.

Ῥουτίζω, μελ. ἰσω. Φλύομαι ῥουτιώδης, ἤτοι ἔχω μελανοκόκκινον χρῶμα, ἐκ τοῦ

Ῥούσιος, ὁ, ἡ, ον, ἀφ' οὗ τὸ Λατιν. russus καὶ russeus. Ἐρυθρός, κόκκινος ὡς ὁ χαλκός, χαλκίχρους, ἢ ξανθός, κυρίως δὲ, μελανοκόκκινος, οἷον ἐπὶ τὸ ὑπὸ τοῦ ἡλίου κεκαυμένον πρόσωπον, Διοσκορ. δ'. 133. ὅθεν

Ῥουσιώδης, ὁ, ἡ, ες (εἶδος). Ὁ ῥούσιον εἶδος ἢ χρῶμα ἔχων, ὁ φοινίκεος κόκκινος, ἢ μελανοκόκκινος, Σχόλ. Ὁμ. καὶ

Ῥουσσαῖος, αία, αιον, ταὐτὸν τῷ, ῥούσιος, Παλαίφατ. κβ'. 7.

Ῥοφάω, καὶ

Ῥοφάω, μελ. ήσω, ταὐτ. τῷ, ῥοφέω.

Ῥοφέω, μελ. ήσω καὶ ήσομαι. Ῥοφῶ, ῥοφῇς, καταπίνω, ποιῶ ἵνα περάσῃ τι ἀπὸ τοῦ στόματός μου διὰ τοῦ φάρυγγος εἰς τὸν στόμαχον, συρῶν τὸν ἀέρα ἔξωθεν ἐπὶ τὰ μέσα ἢ αἰσίως καταπίω, τὸ τῆς συνηθ. ῥλυρῶ, Ξενοφ. Ἀναβ. δ'. ε. 21. »Ῥοφοῦντα ποιεῖν ὥσπερ βοῦν« ἐν τοῖς τοῦ Ἱπποκράτους χειρογράφοις εὑρίσκεται ἔτι αὐτὶ τούτου καὶ »Ῥομφᾶν, καὶ ῥομφᾶσθαι. Ὁ Elmsley παραδέχεται μόνον τὸν μέλ. ῥοφήσομαι ὡς ἑρᾶν Ἀττ. καὶ μεταβάλλει τὰ τοῦ Ἀριστοφ. χωρία Ἀχαρ. 278 Ἱππ. 360. Βατρ. 710. συγγν. τύπ. εἰσὶ τὸ, ῥοφέω, ῥοφάω, ῥομφάω, ῥυφέω, ῥυμφάω. Ἐκ δὲ τοῦ ἀχρστ. ῥοφῶ γίνεται τὸ, ῥόφος, ῥόφημα καὶ ῥοφητός, συγγεν. ἐστὶ τὸ ῥοιβδέω, ῥοιζέω, ῥοθέω, ῥοχθέω, καὶ τὸ Λατ. sorbeo. ὅθεν

Ῥόφημα, τό. Πᾶν ὅ,τι ῥοφᾶται, ἢ καταπίνεται ἄμα· δὲ ποτὸν διὰ μίξεως ἀλεύρου, φακῆς ἢ χόνδρου κ.τ.τ. ἡτοιμασμένον, Γαλην. ὅθεν

Ῥοφημάτιον, τό, ὑποκορ. τοῦ ῥόφημα. Μικρὸν ῥόφημα, ῥοφισμα.

Ῥόφησις, ἡ (ῥοφέω). Τὸ ῥοφᾶν, καταπίνειν, ῥόφησις.

Ῥοφητικός, ἡ, όν (ῥοφέω). Ἐπιτήδειος ἢ ἀνήκων εἰς τὸ ῥοφᾶν· ἡ ῥοφᾶσθαι, κιλὸς εἰς τοῦτο.

Ῥοφητός, ἡ, όν (ῥοφάω). Ὅστις ῥοφᾶται ἢ δύναται νὰ ῥοφηχθῇ, ῥοφητός, ἢ ῥοφημένος, ὡς τις ἐρρόφησεν.

*Τόφος, ὁ, ταὐτὸν τῷ ῥόφημα, Εὐπολις.

(Ῥόφω). Ἄχρηστ. Σέμαι αὐτὶ ῥοφέω.

Ῥόχανον, τό. Σκυτάλις ἀποφρακτήριος, ᾗ ἀποβυσσοῦσι τὸ μέτρον, ἢ ξύλον, δι' οὗ ἰσίζουσι τὸ μέτρον τῶν γεννημάτων, ῥόγλα· παρ' Ἡσυχ. ὅθεν τὸ, ἐπιῤῥόχανον, παρ αὐτῷ, ἂν δὲν πρέπῃ νὰ ἀναγνωσθῇ, ῥόγανον, ἐκ τοῦ ῥογός.

Ῥοχθέω, ῶ, μελ. ήσω (ῥόχθος). Ῥόχθον ποιῶ, ἠχῶ, ἦχον καὶ ψόφον ἀποτελῶ, κυρίως λέγεται ἐπὶ τοῦ ἤχου καὶ τῆς βοῆς τῶν κυμάτων, Ὀδ. Ε. 402. καὶ Μ. 60. »Κῦμα μέγα ῥοχθεῖ βοίζει, ἀγρίως ἠχεῖ, ῥοιζεῖ. »Ῥοχθεῦσιν δὲ κάλωσιν, Ὀππιαν. Ἁλ. 228. »Κῦλοι δ' ἐρόχθουν παρ' Ἡσυχ. καὶ καθελ. θορυβῶ, θόρυβον, ταραχὴν ποιῶ, βροντῶ, stridere. (συγγεν. τῷ, ἐρεχθω.)

Ῥοχθίζω, ταὐτὸν τῷ, ῥοχθέω, Ὀρφ. Ὕμν. μέ. 5.

Ῥόχθος, ὁ. Ῥοῖζος, ἦχος, ψόφος, ἐξαιρτ. ταραχὴ καὶ βοὴ τῶν κυμάτων, ὅταν προσῤῥήγνυνται ταῖς πέτραις ἢ τῷ αἰγιαλῷ· καὶ ἐπομένως πᾶς ψόφος, κτύπος, θόρυβος, ταραχή, Λυκόφρ. 402, 696.

Ῥοώδης, εες, ὁ, ἡ, ες (ῥόος, εἶδος). Ῥέων, στάζων, καταῤῥέων, ῥευστός, ὃς τις δύναται νὰ ῥεύσῃ, ἔτι, κυμαίνων, κυματώδης, ὁρμητικός, βίαιος, σφοδρός· »ῥοώδης θάλασσα«, Θουκυδ. ϛ, 24. 2) Ὁ ὑποκείμενος εἰς ῥεῦμα, ῥευματισμόν, ὁ πάσχων ἀπὸ ῥευματισμόν, ἐξαιρτ. ἀπὸ ῥεῦσιν τῆς κοιλίας, καὶ ὁ προξενῶν ῥευματισμόν.

Ῥοών, ῶνος, ὁ (ῥόα). Τόπος κατάφυτος ῥοῶν, γόμαρος ἀπὸ ῥοιδιάς, παρὰ τοῖς Ο'.

Τὸ Ρ. μετὰ τοῦ Υ.

*Ῥύα, ἡ, = ῥοή, ἀμφ. γραφ. παρ' Αἰλιαν. Ζώων Ἱστορ. 7, 37. (υ-)

*Ῥυᾳδικός, ή, όν (ῥυάς). Ῥευστικός, ῥοώδης· »ῥυαδικὸν πάθος«, Παῦλ. Αἰγιν.

Ῥύαξ, ακος, ὁ (ῥέω). Πᾶν ἀναβλυζον, ἀναπηγάζον ὕδωρ ἐκ πηγῆς τινος, καὶ ῥέον, ἐχετός, ὑδρηγὶς αὐλαξ, ῥεῦμα, αὐλαξ, δι' οὗ μικρός τις ποταμὸς ῥέει, ποταμάκι· ἄμαιρ. λέγεται ἐπὶ τοῦ περίνου ποταμοῦ, ἐς τις προξενεῖται ἐκ τῆς ἀναλύσεως διαφόρων μεταλλικῶν ὑλῶν, αἵτινες ἐκρίπτονται ἐκ τῶν Ἡφαιστίων ὀρέων, ἀπὸ τῆς ἀκρουύτης λάβας. »Οἱ πρὸ τοῦ ῥύακος πηλοῦ ῥέοντες ποταμοί«, Πλάτ. Φαίδ. 60. καὶ Θουκυδ. γ'. 113. »Ὁ ῥύαξ τοῦ πυρὸς« ἐπὶ τοῦ ἰδίως ἡφαιστίου ὄρους, εἶπεν ὁ Θεόφρ. »Ὁ ῥύαξ ὁ ἐν Σικελίᾳ, ὅ ἐστιν, ἡ Αἴτνη καὶ »Οἱ ῥύακες ἀναφυσῶσιν ὅπου ἂν τύχωσι τῆς γῆς« τὰ ἐκβάλλοντα πῦρ ὄρη, Πλάτ. Φαίδ. 61. (υ-)

Ῥυᾶκειον, τό, ὑποκορ. Μικρὸς ῥύαξ.

Ῥυᾶς, άδος, ὁ, ἡ, τό (ῥέω). Ῥευστὸς, ῥευστικός, ῥοώδης, ῥέων, χεόμενος, ἀποστάζων, »Σῶμα ῥυᾶς καὶ μανόν«, Ἀριστοτ ζώων μόρ. ε. 5. »Ὑδρὶξ ῥυάς«, ἡ ῥέουσα, πίπτουσα ἀπὸ τοῦ σώματος, ὅθεν ἀσθενὴς, ἀδύνατος, μαλθακὸς, ἀντίκειτ. τῷ στερεός, τραχὺς »Ῥυᾶς ἄπολοι«, ἤτις τὰς ῥάγας, ἢ ἀφ' ἧς πίπτουσιν αἱ σταγμίδες. 2) Πάθος τῶν ὀφθαλμῶν, ὁπότε ἀκρυζουσιν. 3) ὡς οὐσ. Οἱ ῥυάδες, ἐπὶ ἰχθύων παρ' Ἀριστοτ. καὶ Αἰλιαν. γ'. 46. ταὐτὸν τῷ, ἀγελαῖοι, οἱ ὁμάδην ἢ ῥύδην περιπλανώμενοι, αἵτινες ἀγεληδὸν φέρονται κατὰ τὸ ῥεῦμα τῆς θαλάττης ὡς αἱ ἐρίγγες, ἀντὶ τούτου ὁ Βατίλειος εἰς τὴν Ἑξαημ. Ὁμ. Ζ'. σελ. 68. λέγει· »Κατὰ καιρὸν τῆς ἀνόδου, ὥσπερτι ῥεῦμα τοὺς ἰχθῦς ἠνωμένους, καὶ διὰ τῆς Προποντίδος ἐπὶ τὸν Εὔξεινον ῥέουσαν«

*Ῥύακτο, γ'. πληθ. πρόστ. ἀορ. τοῦ ῥύομαι, Ὁμηρ. (-υυ)

Ῥυάκτης, ὁ, ἡ. Θόρυβος, συρφετὸς, ὄχλος θορυβώδης, ὡς »Τὸν τῶν Ἀσπενδίων ῥυάκτην« Ἀριστοφ. Λυσιστρ. 170. ἤτοι ὄχλος τῶν Ἀθηναίων, Λακ. ὅπου ἄλλοι »Ῥυγχάχετον, καὶ, ῥυγχάχταν, καὶ ῥυάχετονι ἀναγινώσκ. κατὰ τὸν Ἡσυχ. ῥυακτος, ὁ ῥέων ὀχετός, ὁ δὲ Φώτ. καὶ ῥυακτὸς ἔχει μὲ τὴν αὐτὴν ἑρμ. πιθαν. ἐτυμολ. ἡ λέξις ἐκ τοῦ ῥύαξ. (υ-υυ)

Ῥύβδην, ἐπίῤῥ. ταὐτὸν τῷ, ῥύδην, Ἀριστοτέλ. Ζώων Ἱστορ. θ'. 30.

Ῥύγχαινα, ἡ (ῥύγχος). Ἡ μίγα ῥύγχος, ἢ ῥάμφος ἔχουσα, Γλωσσ. Στεφ. Λατ. nauta.

Ῥυγχελέφας, αντος, ὁ (ῥύγχος, ἐλέφας). Ὁ ἐλέφαντος ῥύγχος ἢ προβοσκίδα ἔχων, μακρομύτης ἢ μακρομοσσούσιος. Ἀνθολ.

Ῥυγχίον, τό, ὑποκορ. τοῦ ῥύγχος. Μικρὸν ῥύγχος, Ἀριστοφ. Ἀχ. 744.

Ῥυγχομαχέω, ῶ (μάχομαι). Διὰ τοῦ ἢ μετὰ τοῦ ῥύγχους μάχομαι, ἀμφ.

Ῥύγχος, ους, τό (ῥύζω)· κατ' Ἀθην. κυρίως λέγεται ἐπὶ τῶν συῶν, χοίρων, τὸ μέρος ἐκεῖνο τῆς κεφαλῆς, τὸ πρόσωπον, τὸ ὁποῖον περιέχει τὸ στόμα καὶ τὴν ῥῖνα (μύτη ἢ μούστουνον τῶν γουρουνιῶν), ἔφεξ. δὲ λέγεται καὶ ἐπὶ τῶν λοιπῶν τετραπόδων ζώων καὶ ἐπὶ τῆς προβοσκίδος τοῦ ἐλέφαντος. Ἔτι δὲ καὶ ἐπὶ τοῦ ῥάμφους τῆς τραχείας μύτης τῶν πτηνῶν, καθόλου δὲ αὐτὸ τὸ πρόσωπον, ἢ ἡ πρυτομή, ἐξαιρ. τὸ ὑφ' ἑρπῆς καὶ λύπης ἐξαγριούμενον πρόσωπον, π.χ. τῶν κυνῶν, παραβλ. Runkel Κρανίν. Δείλ. σελ. 97.

Ῥύδην, ἐπίῤῥ. (ῥέω). Ῥευστικῶς, μὲ ῥευστὸν τρόπον, κεχυμένως, εἰς πλῆθος, ἀθρόως, χύδην ἀψιλῶς, ποταμηδὸν, σωρηδὸν, ταὐτὸν ἐστὶ τῷ, ῥυδὸν, σφοδρῶς, Ὀδ. ζ'. 126. »Καὶρη δ' εἰμ' Ἀρίβαντος ἐγὼ ῥυδὸν ἀφνειόθεν· ἔνθα ὁ Σχολ. »Ῥύδην πλοῦτον ἔχοντες, τοῦτ' ἔστι τῷ πλούτῳ χύδην πλουτοῦντες, ἢ ἐπίῤῥοιαν ἔχοντος πλούτου, τοῦ διὰ τὰ πολλὰ πλούτη φημισμένου. (υ-, μόνον δὲ παρ' Ἱππωναξ. Λείψ. 20. εὑρηται — ὅπερ ὅμως ὁ Walker ῥύδην ὡς τὸ ἄδην αὐτὶ ἄδην παραινεῖ γράφεσθαι) 2) μετὰ ῥόθου, βοῆς, κρότου, καθ' ἣν σημασίαν καὶ ῥύβδην αντὶ ῥοίβδην, καὶ ῥύσδην εὑρηται, οἱ ὁποῖοι οὗτοι τύποι εἰσὶ ἅπαντες πολλ' ἀμφ.

*Ῥυδόν, ἐπίῤῥ. = ῥύδην, ἐν Ὀδ. Ο, ζ'26.

*Ῥυέχατος, ὁ, αντὶ ῥυάχετος.

Ῥυέω, μέλ. ήσομαι, παρακμ. ἐῤῥύηκα, ἕτερος τύπ. τοῦ ῥέω, ὅπερ ὅρα.

Ῥυζέω, καὶ ῥύζω, ὡς τὸ ῥάζω. Κατὰ τὸν Πολυδ. ε'. 86. ἀκριβῶς τὴν ὑλακὴν, τὸ γαύγισμα, τὸ μύγκρισμα καὶ τὸν μορμυρισμὸν τοῦ παροργισμένου καὶ ἠχοῦντος κυνός· ἅμα μετ' ὀργῆς καὶ μανίας ὑλακτῶν· ὁ Ἡσυχ. ἑρμηνεύει τό, »Ῥίζωμαι, διὰ τοῦ »Διαμωκῶμαι μισέω, γογγύζω« καὶ ἠχοῦντος τό »Ῥυζῶν διὰ τοῦ, πενθῶν, διὰ τὸ τοὺς πενθοῦντας ἀναυδον τινὰ ἦχον προφέρειν· Ἐκ τούτου ὁ Σουΐδερος παράγει τὸ, ῥυγκάζω, ὅπερ ὁ Φώτιος διὰ τοῦ, μυκτηρίζω, ἠρυήν. (συγγεν. ἐστὶ τῷ, βρύκω, βρύχω, βρυχάομαι, καὶ τῷ Λατιν. rudo, rugio, ringo.)

*Ῥυῆ, γ'. ἑνικ. πρόστ. παθ. ἀορ. τοῦ ῥέω, Ἐπ. αντὶ ἐῤῥύη, Ὀδ. Γ, 455.

Ῥύημα, τό (ῥυέω). Κυρίως = ῥεῦμα, ῥεῦμα, συνήθ. δὲ εἶδος μελιτόπηκτος, ἤτοι πλακοῦντος μετὰ μέλιτος ἡτοιμασμένου, (χ)

Ῥύημι, ταὐτὸν τῷ, ῥυέω, ῥέω, πιθαν. πίνειν ἄχρηστον.

Ῥυηφάνεια, ἡ. Ἀσφάλεια, ἀφθονία, εὐτυχία, ἡ πλοῦτος πολύς, ἐκ τοῦ

Ῥυηφενής, ές, ὁ, ἡ, ές (ῥέω, ἄφενος). Ὁ εἰς ἄκρον πλούσιος, ὁ πολλὰ καὶ περισσὰ πλούτη ἔχων, ὥστε ῥέουσιν ταὐτὸν τῷ εὐηφενής· ὅθεν

*Ῥυηφενία, ἡ, ποιητ. αντὶ, ῥυηφάνεια.

Ῥυθμίζω, μέλ. ἰσω (ῥυθμός). Εἰς ῥυθμὸν φέρω, εἰς ῥυθμὸν ὑποβάλλω, τακτ. διατάττω κατὰ μέτρου τι χρόνου, ἰσότητος, ἢ ὁμοιότητος, δίδω τὴν ἀνήκουσαν κατὰ μέτρον καὶ τάξιν ἀναλογίαν τῶν πρὸς ἄλληλα συνεχομένων μερῶν ἑνὸς ὅλου, ἢ μᾶς ἀκολουθίας, συνεχείας. συναρμόζω αὐτὰ οὕτω ἀναμεταξύ των, ὥστε νὰ παριστάνωσι μίαν ἁρμονικὴν καὶ κανονικὴν συνέχειαν, καὶ νὰ ἔχωσι μίαν τινὰ ὁποιανδήποτε ἀναλογίαν τὸ ἓν πρὸς τὸ ἄλλο, ἅμα ἐπὶ στίχων ἰδίως λέγεται, ῥυθμίζω στίχον τινὰ, ἤτοι »χρωνῶ αὐτὸν κατὰ τὴν εἰς χρονικὰ διαστήματα διαίρεσιν αὐτοῦ, κατὰ τὰ μέτρα τῶν χρονικῶν αὐτοῦ διαστημάτων, Schaef. Διον. Ἁλ. Συν. σελ. 288. μελετ. σελ. 129. 2) καθόλ. ῥυθμικὸν ποιῶ, ἀκολουθίαν καὶ τάξιν ἁρμονικὴν δίδωμι, διατυπῶ, μορφώ, σχηματίζω, κανονίζω, συνθύνω, εὐτρεπίζω, καλλωπίζω, κοσμῶ, εἰς καλὴν τάξιν καὶ κατάστασιν φέρω, ἀνηκόντως ἢ πρεπόντως διατίθημι ἢ διατάττω, συναρμόζω, εἰς ἁρμονίαν φέρω, συμφωνῶ, Ξενοφ. Κυρουπ. η'. 10 »Τοὺς κοσμητὰς, οἱ ὑποχρίουσί τε καὶ ἐντρίβουσιν αὐτοὺς καὶ τὰ ἄλλα ῥυθμίζουσιν«, λέγεται ἐπὶ

σώματος καὶ ψυχῆς. παῤ. Αἰσχύλ. Προμ. 141· »Τὸ δ' ἐρρύθμισμαι» ἀντὶ »Οὕτω διακέκειμαι.

Ῥυθμικός, ή, όν· καὶ Ἐπίῤ. -κῶς (ῥυθμός). Ὁ κατὰ ῥυθμὸν πεποιημένος, ὁ ῥυθμὸν καὶ μέτρον ἢ τάξιν καὶ ἀναλογίαν ἔχων, ὁ εἰς ῥυθμὸν ἀντίκων, ἀναφερόμενος ἢ ἁρμόττων.

Ῥυθμιστής, οῦ, ὁ (ῥυθμίζω). Ὁ ῥυθμίζων, σχηματίζων, διατάττων, διευθετῶν.

Ῥυθμογραφία, ἡ (γράφω). Τὸ γράφειν ἢ σημειόειν τὸν ῥυθμόν· ἢ ἔγγραφος σημείωσις τοῦ ῥυθμοῦ, ἔξαιρ. μέλους τινός, μελογραφία, ἢ τῶν ῥυθμῶν ἤτοι τῶν μουσικῶν σημείων, τῆς μουσικῆς ῥυθμίσεως γραφή. Μάρκιαν. Ἑλλην.

Ῥυθμοειδής, ες, ὁ, ἡ, ές (εἶδος). Ὁ εἶδος ῥυθμοῦ ἔχων, ὅμοιος ῥυθμῷ, ἢ ῥυθμικός.

Ῥυθμοποιία, ἡ. Τὸ ποιεῖν, ἐξεργάζεσθαι ῥυθμούς, μέλη, Πλούταρχ. ἐν τοῦ

Ῥυθμοποιός, ὁ, ἡ, όν (ποιέω). Ὁ ῥυθμοὺς ἢ μέλη ποιῶν, ἐξεργαζόμενος. Ἡσύχ.

Ῥυθμός, ὁ. Κυρίως πᾶσα κίνησις ἔξαιρ. κυκλική ἢ σπειρώδης καὶ περίστροφος ἥτις ἀποτελεῖται κατὰ κανόνα τινὰ ἢ μέτρον, καὶ ἐντεῦθεν. 1) Ἰδίως μέτρον χρονικὸν, ἤτοι προσδιοριστικὸν τῶν ἴσων ἢ πρὸς ἄλληλα ἀναλόγων χρονικῶν διαστημάτων κατὰ τὰ ὁποῖα γίνεται μία τις ἀπὸ ποτε τακτικὴ κίνησις, Rythmus Λατ. der Tact. Γερμ. ὅθεν καὶ ἡ κατά τινα χρόνον μεμετρημένη κίνησις τῶν ποδῶν καὶ τοῦ σώματος ἐν τῷ ὀρχεῖσθαι, καὶ ὁ μετὰ τούτου συνωδευόμενος σύμμετρος χρόνος τοῦ τέτου καὶ ἦχου τῆς Μουσικῆς, τὸ μέλος. Ἐντεῦθεν ὁ μὲν Ἡσύχιος ἑρμηνεύει τὸ »Ῥυθμός, διὰ τοῦ, κανὼν, μέτρον, τρόπος, μέλος εὐφωνον, ἀκολουθία, τάξις, σύγκρισις· ὁ δὲ Φώτιος διὰ τοῦ »Τάξις ἐμμελὴς, ἀτελεύτητος ἁρμονίαν· καὶ ὁ Ἐτυμολ. διὰ τοῦ »Ἡ τῆς κινήσεως τάξις, ἀλλὰ σαφεστέρα φαίνεται ἡ σημασία τούτου παρὰ τοῖς ἀρχαιοτέροις εἶναι παρὰ Πλάτωνι Νόμ. β'. »Τὰ μὲν οὖν ἄλλα ζῶα οὐκ ἔχειν αἴσθησιν τῶν ἐν ταῖς κινήσεσι τάξεων οὐδὲ ἀταξιῶν, οἷς δὲ ῥυθμὸς ὄνομα καὶ ἁρμονίαν· καὶ Ἀριστοτέλ. Προβλ. ιθ'. 38. »Ῥυθμῷ δὲ χαίρομεν, διὰ τὸ γνώριμον καὶ τεταγμένον ἀριθμὸν ἔχειν, καὶ κινεῖν ἡμᾶς τεταγμένως. Οἰκειοτέρα γὰρ ἡ τεταγμένη κίνησις φύσει τῆς ἀτάκτου· διὰ δὲ τὸ ἔθος τρόποις μελῶν χαίρομεν· καὶ ὁ Γαληνὸς »Ῥυθμός ἐστι κίνησις ἐν χρόνοις τάξιν ἔχουσα ὡρισμένην· οἷον ῥυθμῷ, κατὰ ῥυθμόν ἤτοι κατὰ τὸ ἁρμονικὸν καὶ ἀνάλογον διάστημα τοῦ χρόνου, κατά τ' ἔμμετρον μέλος, κατὰ τὸ τάκτον· καὶ »Σάττουα ῥυθμὸν ἐπάγειν ἢ ὑπάγειν· βαδίζω ἢ παίζω κατὰ ἓν ταχύτερον μέλος, ὁ Σουίδας ἀναφέρει περιστατικώτερον περὶ τοῦ ῥυθμοῦ λέγων, »Ῥυθμός, τάξις ἐμμελὴς ἀκολούθου ἁρμονίας, μέλος εὐφωνον. Διαφέρει ῥυθμὸς μέτρου, τῷ τὸν μὲν γενικώτερον εἶναι, τὸ δὲ μέτρον ὑπάρχειν εἶδος τοῦ ῥυθμοῦ. Θεωρεῖται γὰρ ὁ ῥυθμὸς καὶ ἐπὶ τῶν κροτούντων ταῖς χερσὶ καὶ τοῖς ποσὶν· ὅταν γὰρ ἡ ταχεῖα καὶ βραδεῖα τῶν ποδῶν ἄρσις καὶ θέσις λέγον ἔχωσι πρὸς ἄλληλα, ῥυθμὸς γίνεται· καὶ ἐπὶ αὐλῶν καὶ τῶν ἄλλων τῶν τοιούτων ὁ ῥυθμὸς λέγεται, συμμετρία ἐν τοῦ χρόνου, ἐν ᾧ ἡ κίνησις γίνεται· 2) ἐπὶ τοπικῶν διαστημάτων δηλοῖ τὸν σύμμετρον σχηματισμὸν τῶν μερῶν ἑνὸς ὅλου, καὶ τὴν ἐνυπάρχουσαν πρὸς ἄλληλα ἀναλογίαν, καθ' ἣν ἀποτελεῖται ἡ κατὰ κανόνα καὶ ὡρισμένην τάξιν συνέχεια καὶ ἀκολουθία αὐτῶν· ἔτι δὲ καὶ αὐτὴ ἡ σύμμετρος καὶ ἁρμονικὴ θέσις καὶ διάταξις ἑκάστων τούτων τῶν μερῶν πρὸς ἄλληλα, ἥτις ἀποτελεῖ τὴν ὡραίαν μορφὴν καὶ τὸ κανονικὸν σχῆμα τοῦ ὅλου καὶ ἐν γένει αὐτὸ τὸ σχῆμα ἢ ἡ μορφὴ ἑνὸς ὁποιουδήποτε ἀντικειμένου ἤτις ὑποβάλλεται καὶ ὑπόκειται εἰς ὡριτμένον τινὰ κανόνα ἢ μέτρον, ὡς, »ὁ ῥυθμὸς τῶν Γραμμάτων» Ἡρόδτ. 5, 58. ἤτοι ἡ μορφὴ, ὁ σχηματισμὸς τῶν γραμμάτων, ὡσαύτ. καὶ Ἀ εξ. παρ' Ἀθην. 3. σελ. 125. Γ. περὶ τῆς μορφῆς ἑνὸς πετηρίου. 3) Καθόλ. Ὁ τρόπος καὶ ἡ κατάστασις καθ' ἣν τι ὑπάρχει, εὑρίσκεται, κεῖται, ἢ κινεῖται, φέρεται, ἢ ὑπερχουσα τάξις, ἁρμονία, διάθεσις, τοιάδε ἢ τοιάδε θέσις κατάστασις, εἴτε σώματος καὶ ψυχῆς, ἆρα καὶ αὐτὴ ἡ ψυχικὴ διάθεσις, ἡ ἐσωτερικὴ τῆς ψυχῆς ἁρμονία καὶ εὐταξία, Θεογν. 988. ὅπου συνεκφέρεται μετὰ τοῦ, ὀργὴ καὶ τρόποι. Ἡ εὐθρωπίνη κατάστασις ἐν γένει, conditio humana, Ἀρχίλ. Λείψ. 33, 7. 4) ἔξαιρ. ἐπὶ ἐκφράσεως σημαίνει τὴν Εὐκυκλίαν, ἥτις συνίσταται ἐκ τῆς ἰσομετρίας καὶ ἁρμονικῆς πρὸς ἄλληλας θέσεως καὶ τάξεως τῶν συλλαβῶν, τῶν λέξεων καὶ τῶν κώλων τῆς περιόδου. Ὅρα Διον. Ἁλικ. περὶ Συνθ. κεφ. ια', ὅπου ὁ αὐτὸς ἴτι λέγει. »Πᾶν ὄνομα καὶ ῥῆμα καὶ ἄλλο μόριον τῆς λέξεως, ὃ μὴ μονοσυλλαβόν ἐστι, ἐν ῥυθμῷ λέγεται· τὸ δ' αὐτὸ καλῶ ποδα καὶ ῥυθμόν· καὶ κατωτέρω ἐν κεφ. ιζ'. »Ῥυθμὸς δὲ ἁπλοῦς, ἢ ποὺς, οὐτ' ἐλάττων ἐστὶ δυεῖν συλλαβῶν, οὔτε μεῖζων τριῶν· τὸ ἰδίως ἐνταῦθα λεγόμενον μέτρον, Λατ. Numerus, ὡς καὶ ὁ Δεγγῖνος ἐν τῷ περὶ μέτρων τεχνολογ. οὕτω φησί· »Τετμῆσθαι μέτρον, ἀκοὴ ὕλη τοῖς μέτροις συλλαβή, καὶ χωρὶς συλλαβῆς οὐκ ἂν γένοιτο μέτρον· ὁ γὰρ ῥυθμὸς γίνεται μὲν ἐν συλλαβαῖς, γίνεται δὲ καὶ χωρὶς συλλαβῆς· καὶ γὰρ ἐν κρότῳ, ὅταν τοὺς χαλκοὺς ἴσωμεν τὰς σφῦρας κατοφέροντες, ἔμπνοιαι καὶ ῥυθμοὶ ἀκούομεν, καὶ ἵππων δὲ πορεία ῥυθμὸς ἐνομίσθη, καὶ κίνησις δακτύλων, καὶ τῶν ὀρνίθων τὰ πτερύσματα· μέτρον δὲ οὐκ ἂν γένοιτο χωρὶς λέξεως ποιᾶς καὶ ποητικῆς· καὶ ὁ Σουίδας περὶ τούτου ἐκ τοῦ Φιλοπόνου εἰς τὸ β'. βιβλ. τοῦ περὶ ψυχ. τοῦ Ἀριστοτ. »Ὁ μὲν οὖν ἐπὶ τῶν ἄλλων ῥυθμὸς κατὰ τὸ βραχὺ καὶ βαρὺ χαρακτηρίζεται, ὁ δὲ ἐπὶ τοῦ προφορικοῦ λόγου κατὰ τὸ μακρὸν καὶ βραχύ· ὃς περ μόνος καὶ μέτρον λέγεται, οὐκ ἐπὶ τῶν ποιητικῶν τε λόγων ταῦτα μόνον θεωρεῖται, ἀλλὰ καὶ ἐπὶ τῶν ῥητορικῶν. (πιθαν. ἡ παραγ. τοῦ ῥυθμὸς ἐστὶν ἐκ τοῦ ῥέω, ῥυέω, ὥστανεῖ εὔρυθμον τινὰ ῥοὴν ἢ ῥεωτικὴν κίνησιν ἐμφαίνων· ἔστι δὲ καὶ συγγεν. τῷ ῥύμβος, ῥόμβος, ῥέμβω, ῥέπω) [παρὰ τοῖς Ἀττ. καὶ ἐν γένει παρὰ τοῖς ὕστερον ποιητ. εὑρηται πολλάκις ἡ πρώτη συλλαβὴ βραχεῖα.]

*Ῥυθμόω, ῶ, μελ. ώσω, ταὐτ. τῷ ῥυθμίζω, ὅμηρ.

Ῥυΐσκομαι, νοήτρ. τύπ τοῦ ῥέω. Ἠλιόδωρ. β'. σελ. 91. »Ἐκ τοῦ γάλακτος ῥυΐσκομαι· λίβρειον (κίνησιν κοιλίας) λυμβάνω, μὲ πιάνει κίνησις, εὐκοιλιάτης.

*Ῥυκανάω, μελ. ήσω. Διὰ τῆς ῥυκάνης ξύω, ὁμαλίζω, ῥυκανίζω, ἐκ τοῦ

Ῥυκάνη, ἡ. Τεκτονικὸν ἐργαλεῖον, σιδήριον κατὰ τὸ μέσον ἔχον, ἐξ οὗ ἀποξέουσι καὶ ἐξομαλίζουσι τὰ ξύλα· ἔπερ ἡ συνήθεια Δακωνικῶς ῥυκάνη, καὶ Οὐδετερ. ῥυκάνιον, καὶ ῥόκανον, ἐκφράζει, Λατ. runcina ὁ Ἡσύχ. ἀποδεικνύει τὴν σημασίαν τούτου. ἐν Λεξ. »Ξίφαι, τὰ ἐν ταῖς ῥυκάναις ὀρύπαια ἢ σιδήρεια· ἐκ τούτου καὶ τὸ τῆς συνηθ. ῥυκανίζω, καὶ τρόπ. ἀντὶ τοῦ, Τρώγω σκληρόν τι σῶμα διὰ τῶν ὀδόντων, ὅθεν φαίνεται ὅτι ἡ λέξις ὠνοματοπεποίηται πρὸς μίμησιν ἤχου τραχέος, προξευομένου διὰ τῆς θραύσεως τοῦ τριβομένου καὶ ἀληθευομένου σώματος, οἷον τοῦ, Τύσσ, ἢ Χρύσσ, ἢ Βρύσσ, ἢ Γρύσσ, κ. τ. τ.

Ῥυκάνησις, ἡ (ῥυκανάω). Τὸ ῥυκανίζειν, διὰ τῆς ῥυκάνης ξέειν. Μαθημ. παλ. σελ. 109.

Ῥυκανίζω, ταὐτ. τῷ, ῥυκανάω. Γλωσσ. Στεφ.

Ῥύμα, τό (ῥέω), ταὐτὸν τῷ, ῥεῦμα, ποταμός, ῥεῦμα, ῥοὺς Herm. Ὀρφ. Τμ. 10, 22.

Ῥῦμα, τό (ΡΥΩ, ἐρύω), ταὐτὸν τῷ, Ἕλκυσμα, σύρτιμον, τράβιγμα, καὶ τὸ δι' οὗ ἕλκει τις τι, ὡς σχοινίον, δι' οὗ σύρομεν καὶ ἕλκομεν τι· τὸ σχοινίον δι' οὗ ἕλκομεν καὶ τραβῶμεν, π. χ. τὸ πλοῖον παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἢ τοῦ ποταμοῦ, ὁλκός, (Γενδεκ. Τουρκ.) Πολύβ. γ'. 46. καὶ α'. 26. »Ἐπὶ δὲ τούτοις ἐπέστησαν τοὺς ἱππηγούς, ῥύματα δύοντες ἐξ αὐτῶν, ἢ χορδὴ τοῦ τέξου, τέξου ῥῦμα, Αἰσχ. Περσ. 146. ἔτι καὶ αὐτὸ τοῦ, βολή, »Ἐκ τέξου ῥυμάτων. Διοσκ. Ἀναβ. γ'. γ'. 15. ὅτου μία βολή, βῆμα τέξου, ἔστιν ὁπηλίκη διάστημα ὑπάρχει τὰ τρέξη τὸ βέλημον ἑνὸς τέξου, (ἴσως μέ μίον τουφεκίου) καὶ »Ἐς τέξου ῥῦμα, ὅσον φθάνει τὸ τέξον· ἔστι τὰ ἐξέχον ξύλον τῆς ἁμαξης ἐξ οὗ τὰ ὑποζύγια σύρουσιν αὐτήν, ταὐτ. τῷ ῥυμός. 2) (ῥῦμαι) Ῥῦσις, σωτηρία, ἐλευθέρωσις, ἀπαλλαγή, καὶ ἔρυμα, ὀχύρωμα, στήριγμα, προπύργιον, propugnaculum, ἔξαιρ. παρὰ τοῖς Τραγ. ὡς Αἰσχύλ. Ἱκετ. 88. Σοφ. Αἴ. 159. Εὐρ. Φοιν. 998. καὶ ἀλλαχοῦ, παραβλ. ῥῦσις.

Ῥυμάρχης, ου, ὁ (ῥῦμη, 2 ὄρχω). Ὁ τῆς ῥύμης ἢ τῶν ὁδῶν τῆς πόλεως ἄρχων, ἐπιτηρητὴς ψροντιστής. Αἰλέαι Ταικ. β'.

Ῥυμβέω, (ῥύμβος) Ἀττ. ἀντὶ ῥομβέω.

Ῥύμβιον, τό, ὑποκορ. τοῦ ῥύμβος, Ἀττ. ἀντὶ τοῦ, ῥόμβιον, τροχίσκος τις, ἔξαιρ. τροχ. μαγικός. Σχολ. Ἀπολλ. δ'. 148.

Ῥυμβονάω, ῶ (ῥυμβών). Στρεφοτυρίζω, περιστρέφω, περιδινέω καὶ οὕτω ῥίπτω, σφενδονίζω, μετ' ὁρμῆς ἀφίημι σῶμάτι διὰ τῆς περιστροφῆς, καὶ διασοριπίζω, διαῤῥίπτω, ἀπ' ἄλλήων ῥίπτω. 2) ὁ Αἰλιαν. συνεκφέρει τοῦτο μετὰ τοῦ, Σπαδῶν, ἀντὶ τοῦ, Ἀσωτεύειν, κακῶς ἐξοδεύειν, διαθαιρεῖν, καταναλίσκειν] ἴδε Ruhnk. Τιμ. σελ. 229.

Ῥύμβος, ὁ, Αἰτικ. ἀντὶ τοῦ, ῥόμβος. Κυκλοειδές τι σῶμα, τροχίσκος, δι' οὗ παίζουσι τὰ παιδία. 2) Ὁ τροχίσκος τῶν μάγων, καὶ ἡ κυκλοειδὴς κίνησις τοῦ τετύτου σώματος, καθόλου δέ, Περιστροφὴ, κίνησις κυκλική ἴδε πλατύτερ. ἐν τῷ ῥόμβος.

Ῥυμβών, ωνος, ἡ = ῥόμβος, ῥέμβος. Ἡ κυκλική καὶ περίστροφος κίνησις, περιδίνησις, κίνησις σφενδόνης ἢ κυκλοειδὴς, καὶ ἔξαιρ. σφενδόνησις, ἢ σφενδόνισμα, ἴδιον τὸ ῥυμβονέω.

Ῥύμη, ἡ (ΡΥΩ, ἐρύω). Ἡ δύναμις, ὁρμὴ καὶ ταχύτης κινουμένου ἢ φερομένου τινὸς σώματος, φορὰ, ὁρμὴ βιαία, ῥοπὴ, κίνησις, ταχεῖα καὶ ἀκράτητος. Impetus Θουκυδ. »Ἡ δὲ ἐσοὺς ῥύμη ἐμπίπτουσαν. Ξενοφ. Κυρουπ. ζ'. α'. 16. »Τῇ ῥύμῃ τῶν ἵππων· τῇ ὁρμητικῇ κινήσει· Lob. Φρυν. σελ. 404. ὅθεν τὸ Λατ. rumor· καὶ τροπ. ἡ ῥύμη τῆς τύχης. Πλουτ. ἀντὶ ἡ μεταστροπὴ καὶ μεταβολὴ τῆς τύχης· καὶ, ἡ ῥύμη τῆς ὀργῆς, ἀντὶ ἡ ὁρμὴ, τὸ ἀκράτες τῆς ὀργῆς, Ἰακ. Ἀχ. Τοτ. σελ. 462. καὶ Φιλόστρ. Εἰκ. σελ. 655, 723. 2) Πλατεῖα, ἀγυιά, δρόμος, μέσα τῆς πόλεως, vicus Λατ. καὶ τὸ διὰ τεύτου χωρίζμενον εἰς τμῆμα μέρος τῆς πόλεως (μαχαλές. Τουρκ.) (– –) ὅθεν

Ῥυμηδόν, Ἐπίῤ. Μετὰ βίας καὶ ὁρμῆς, μετὰ ταχείας κινήσεως, ὁρμητικῶς, βιαίως. Πολύαιν.

Ῥύμμα, τό (ῥύπτω). Τὸ ἐναπολειπόμενον, πᾶν ὅ,τι μένει ἀπό τινος πλυσίματος ἢ καθάρσεως, ἀκαθαρσία, ἀπόπλυμα, κάθαρμα, ῥύπος, λέρα· ταὐτὸν τῷ, Λύμα. 2) Καθαρτήριον, ἢ ῥυπτικὸν μέσον, δι' οὗ καθαίρομεν καὶ πλύνομεν ἢ παστρεύομέν τι, οἷον, Σμῆγμα, σαπούνιον, στακτὸν ἢ ἐλαιόστακτη, κ. τ. τ.

*Ῥυμνές, ή, όν· ἀντὶ ἐρυμνὸς παρὰ τοῖς Ὀ'.

Ῥυμός, ὁ (ΡΥΩ, ἐρύω). Τοῦ ἅρματος ἢ τῆς ἁμάξης τὸ ἐκτεταμένον ἐπὶ τὰ ἔμπροσθεν ξύλον ἀπὸ τοῦ ὀξέος ἕως τοῦ ζυγοῦ ἐπὶ τοῦ ὁποίου

ζευγνύμενοι οἱ ἵπποι ἕλκουσι τὴν ἅμαξαν. Ἰλ. Ε, 732. »Ἀργύρεος ῥυμός· Ζ, 40. »Πρῶτος ῥυμὸν τὸ ἄκρον τοῦ ξύλου τῷ πρὸς τῷ ζυγῷ, πεύξεσθαι ῥυμόν, Ἰλ. Ω, 271. καὶ Ἡρδ. 4. 69 ἔτι καὶ ῥῦμα. 2) Ταὐτόν τῷ, ῥυτήρ. 3) Ταὐτόν τῷ, Ὁλκός, αὖλαξ τοῦ ἀρότρου, οὐρά, χάραγμα, γραμμή, ἄρδα, Λατ. tractus. 4) = ῥύμη, 2. Ἄρατ. 927. ὁ Ἡσυχ. ἑρμην. ἔτι διὰ τοῦ, τάξις, ἐμμέλειαι ἐν ταῖς τοῦ Χοιλλερ. ἐπιγραφ. εὑρίσκεται· »Ῥυμὸς πρῶτος, δεύτερος, κ. τ. λ. »τὴς τὴν καταμέτρησιν τῶν ἱερῶν σκευῶν τοῦ ναοῦ, παρβλ. Boekh. Ath. Staatsh. 2. σελ. 290.

Ῥυμοτομέω, ὦ (ῥύμη, τέμνω), Διόδωρ. Σικ. ιζ'. 52. »Τὴν πόλιν ῥυμοτομοῦσιν, τέμνειν, διαιρεῖν τὴν πόλιν εἰς ῥύμας ἤτοι εἰς ὁδοὺς καὶ πλατείας, ὅθεν

Ῥυμοτομία, ἡ. Ἡ εἰς ῥύμας διαίρεσις καὶ διακοπή, ἡ εἰς πλατείας καὶ ἀγυιὰς ἤτοι εἰς ὁρόμους, ἡ μαχαλάδες διαίρεσις τῆς πόλεως. Διόδ. Σικελ.

Ῥυμουλκέω, ῶ (ῥῦμα, ἕλκω). Ῥύμασιν ἕλκω, σύρω, τραβῶ τι μὲ τὸ ῥῦμα ἤτοι τὸ σχοινίον, μὲ κάλων, (τραβῶ γενικὰ) »διὰ τοῦ σχοινίου ἕρμασιν ἕλκω τὰς ναῦς παρὰ τῷ ποταμῷ ἢ τῷ αἰγιαλῷ. Στράβ. ε'. σελ. 161. »Πλεῖται δὲ ἡ διωρυξ αὕτη μάλιστα ῥυόντων· ἀλλὰ καὶ μεθ' ἡμέρας ῥυμουλκεῖται δι' ἡμιόνων· καὶ Διόδ. Σικ. κ'. 74. »Ἐπακολουθεῖν δὲ τὰς στρατιωτικὰς καὶ τὰς ἐπηγοὺς ῥυμουλκουμένας ὑπὸ τῶν εἰρεσίας χρωμένων. Λατ. remulcare, ἢ remulco agere.

Ῥυμφάνω, καὶ ῥυμφέω. Ῥοφῶ, ῥουφάω, καπίνω, παρ' Ἱπποκράτει συγγεν. τύποι τῷ ῥοφάω, καὶ ῥοφέω.

Ῥυνδάκη, ἡ. ῥυνδάκης, ου, καὶ, ῥύνδακος, ὁ. Πτηνόν τι Ὠδικὸν, μέγεθος περιστερᾶς ἔχον. Πλούταρχ. Ἀρταξ. 10. ὅπου »Ῥυνδάκην» κεῖται, παρὰ δὲ τῷ Ἡτυχίῳ »Ῥυνδάκην.

